φθορεῖν χρὴ διαφερόντως, Κλήμ.'Αλ.270,1 γραῖαι οἰκοφθοροῦσαι· || κ. παθ. χάνω τὴν περιουσίαν μου, καταστρέφομαι : 'Ηρ.5,29 ὥρεον γὰρ δὴ σφεας δεινῶς οἰκοφθορημένους· - πρβλ.αὐτ.1,196 ἁλόντες, ἐκακώθησαν καὶ οἰκοφθορήθησαν.
οἰκοφοβία (ἡ) νεώτ. ἰατρ. νοσηρὸς φόβος παραμονῆς ἐν οἴκῳ, προσβάλλων ἐνίοτε τοὺς σεισμοπλήκτους, φοβουμένους καὶ μετὰ πολὺν εἶτα χρόνον νὰ μένωσιν ὑπὸ στέγην.
οἰκοφόρος-ον μτγν. ἐπὶ τῶν Σκυθῶν, ὁ φέρων μεθ' ἑαυτοῦ τὸν ἴδιον οἶκον : Σκύμν.854 οἰκοφόρα ἔθνη, Περίπλ.Εὐξ.Πόντου 49.
οἰκοφῠλάκιον (τὸ) μσν. παίγνια τὰ ὁποῖα αἱ μητέρες ἐκ τῆς οἰκίας ἀπερχόμεναι, δίδουσι τοῖς τέκνοις, ἵνα ἡσυχάζωσι· πρβλ. οἰκούριος 2) : Εὐστ. 'Οδ.1423,3 «οἰκοφυλάκια, τὰ ὑπὸ μητέρων παιδίοις ὑπολειπόμενα παίγνια».
οἰκοφῠλακῶ-έω ἐπὶ κυνός, φυλάττω τὸν οἶκον : Αἰσώπ.Μῦθ.176 (δ.γρ.).
οἰκοφύλαξ-ᾰκος (ὁ,ἡ) κ. νεώτ. ὁ φύλαξ τοῦ οἴκου : Αἰσχ.'Ικ.27 Ζεὺς σωτὴρ τρίτος, οἰκοφύλαξ ὁσίων ἀνδρῶν, Νοσσ.ΑΠ 9,604 οἰκοφύλαξ σκυλάκαινα· 2) νεώτ. ὁ θυρωρός.
οἰκτ(ε)ίρημα-ατος (τὸ) (οἰκτειρῶ) μτγν. οἰκτιρμός, ἔλεος, εὐσπλαχνία : ΠΔ 'Ιερ.38,3 διὰ τοῦτο εἵλκυσά σε ἐς οἰκτείρημα.
οἰκτ(ε)ιρήσιμος-ον μσν. ὁ ἄξιος οἰκτιρμοῦ, εὐσπλαγχνίας : Στουδ.Θεόδ.1168.
οἰκτ(ε)ίρησις-εως (ἡ) (οἰκτειρῶ) μτγν. ὁ οἰκτιρμός, ἡ εὐσπλαγχνία : Κλήμ.'Αλ.149.
οἰκτ(ε)ίρω (οἶκτος) ἀ. οἰκτίρω βλ.λ.
οἰκτ(ε)ιρῶ-έω μτγν. κ.σχόλ. δ.τ. τοῦ οἰκτ(ε)ίρω βλ., μέλλ. οἰκτειρήσω (Σχόλ.'Οδ.Δ 740), ἀόρ. ᾤκτ(ε)ίρησα (Σχόλ.Αἰσχ.Προ.353), παθ. ἐν ἀπαρφ. οἰκτ(ε)ιρηθῆναι (Σχόλ.Αἰσχ.Προ.637), οἰκτίρω, λυποῦμαι, εὐσπλαγχνίζομαι : ΠΔ'Εξ.33,19 καὶ οἰκτειρήσω ὃν ἂν οἰκτειρῶ, αὐτ.Ψαλμ.100,(101),14 σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός, Σχόλ.'Οδ.Δ 740· κ. παθ. : Σχόλ.Αἰσχ.Προ.637· 2) ρηματ. π. οἰκτείρημα, οἰκτείρησις, οἰκτειρήσιμος.
οἰκτίζω (οἶκτος) συνήθ. ποι. ὁ ἐνεστ. μ. ἐν συνθ. κατοικτίζω, μέλλ. ἀττ. οἰκτιῶ (Αἰσχ.Προ.68), ἀόρ. ᾤκτισα (Σοφ.ΟΤ 1508, 'Αριστλ.Κόσ.391a, 22), μτ. αἰτ. προσ. αἰσθάνομαι οἶκτον πρός τινα, λυποῦμαι, εὐσπλαχνίζομαι, οἰκτίρω : Αἰσχ.Προ.68 ὅπως μὴ σ' αὐτὸν οἰκτιεῖς ποτέ, Σοφ.ΟΤ 1508 οἴκτισόν σφας, ὧδε τηλικάσδ' ὁρῶν πάντων ἐρήμους· || μτ. αἰτ. κ. γενικ. : 'Αριστλ.Κόσ.391a, 22 τοὺς μετὰ σπουδῆς διαγράφαντας ἡμῖν ἑνὸς τόπου φύσιν οἰκτίσειεν ἄν τις τῆς μικροφυχίας· || κ. μτ. αἰτ. πράγμ. : Σοφ.Τρ.855 πάθος οἰκτίσαι· || κ. μέσ. : Αἰσχ.'Ικ.1031 ἐπίδοι.. στόλον οἰκτιζόμενα (μετ' οἴκτου), Θουκ.2,51 καὶ τὸν πονούμενον ᾠκτίζοντο διὰ τὸ προειδέναι τε καὶ αὐτοὶ ἤδη ἐν τῷ θαρσαλέῳ εἶναι· 2) μέσ. θρηνῶ, πενθῶ : Εὐρ.ΙΖ 486 οὐχ ὅστις 'Ἅδην ἐγγὺς ὄντ' οἰκτίζεται· || κ. ἀπολ. ἐκδηλῶ τὸν οἰκτόν μου, τὴν λύπην μου : Δεῖν.1,110 ὅταν Δημοσθένης ἐξαπατῆσαι βουλόμενος καὶ παρακρουόμενος ὑμᾶς οἰκτίζηται καὶ δακρύῃ· || μτ. συστ. αἰτ. θρηνολογῶ : Αἰσχ.Εὐμ.515 τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτο· πρβλ. Εὐρ.Τρω.155 διὰ γὰρ μελάθρων ἄιον οἴκτους οὓς οἰκτίζει· 3) ρηματ. π. οἴκτισμα, οἰκτισμός.
οἰκτικός-ή-όν (οἶκτος) μτγν. ὁ ἐκφράζων οἶκτον : Γαζ.Θ ἐν 'Αν.Βάχμ.2,290,1 οἰκτικὰ ῥήματα.
οἰκτιρμόνως ἐπίρρ. μτγν. κ. μσν. κ. νεώτ. κατὰ τρόπον οἰκτίρμονα, εὐσπλαγχνον : 'Ανών.π.Δουκάγγ. ἐν λ. κελλαρίτης.
οἰκτιρμός (ὁ) (οἰκτίρω) κ. νεώτ. ἡ εὐσπλαγχνία, ἡ συμπάθεια : Πίνδ.Π 1,85 κρέσσων οἰκτιρμοῦ φθόνος· || μτγν. κτ. πληθ. αἰσθήματα οἴκτου, συμπαθείας, ἐλέη : ΠΔ Ψαλμ.50,3 καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ΚΔ Ρωμ.12,1 διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, αὐτ.Κολ.3,12 σπλάγχνα οἰκτιρμῶν, αὐτ.'Εβρ. 10,28 χωρὶς οἰκτιρμῶν ἀποθνήσκει.
οἰκτιρμοσύνη (ἡ) μσν. ὁ οἰκτιρμός, ἡ εὐσπλαγχνία : Τζέτζ.Χιλ.8,173.
οἰκτίρμων-ονος-ον μτγν. κ. νεώτ. ὁ πλήρης ἐλέους καὶ οἰκτιρμῶν, ὁ ἐλεήμων, ὁ εὐσπλαγχνικός : Θεόκρ.17,75 χρηστῷ κοἰκτίρμονος ἀνδρός, ΑΠ 7, 359,1 ἰδὼν οἰκτίρμονι θυμῷ, ΠΔ 'Εξ.34,6, κύριος ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων, ΚΔ Λουκ.6,36 γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.
οἰκτίρω (οἶκτος) κ. νεώτ. κ. οἰκτείρω, αἰολ. οἰκτίρρω ('Ηρωδιαν.2,558), παρατ.ᾤκτ(ε)ιρον, μέλλ. οἰκτιρῶ (Αἰσχ.ἀπ.199,κῶδ.οἰκτερεῖ), ἀόρ. ᾤκτ(ε)ιρα κ. Ἰων. οἴκτ(ε)ιρα ('Ηρ.3,52), παθ. μ. κτ. ἐνεστ. κ. παρατ. (Σοφ.'Ηλ.1412, Ξεν.Οἰκ.7,40)· Χοιροβ. ἐν ΑΒ 1404Β «οἰκτίρω, οἰκτείρω· καὶ διὰ τοῦ ι γράφεται καὶ διὰ τῆς ει διφθόγγου, ἔχουσι δὲ λόγον ἑκάτεροι. οἱ γὰρ διὰ τοῦ ι γράφοντες διὰ τὸ οἰκτιρμὸς γράφουσι, καὶ πάλιν οἱ Αἰολεῖς οἰκτίρρω λέγουσι καὶ οὐχὶ οἰκτέρρω. οἱ δὲ διὰ τῆς ει διφθόγγου γράφουσιν αὐτό, ἐπειδὴ οἰκτερῶ ἐστιν ὁ μέλλων», μτ. αἰτ. προσ. αἰσθάνομαι οἶκτον πρός τινα, λυποῦμαι, εὐσπλαγχνίζομαι, συμπαθῶ : 'Ιλ.Λ 814 τὸν δὲ ἰδὼν ᾤκτειρε Μενοιτίου ἄλκιμος υἱός, αὐτ.Π 5 τὸν δὲ ἰδὼν ᾤκτ(ε)ιρε ποδάρκης δῖος 'Αχιλλεύς, 'Ηρ.7,38 ἐμὲ ἐς τόδε ἡλικίης ἥκοντα οἰκτ(ε)ίρας τῶν μοι παίδων ἕνα παράλυσον τῆς στρατιῆς τὸν πρεσβύτατον, Πλάτ.Εὐθ.288D ἐάν πως ἐκκαλέσωμαι καὶ ἐλεήσαντέ με καὶ οἰκτ(ε)ίραντε συντεταμένον· || μτ. αἰτ. κ. γενικ. λυποῦμαί τινα διά τι πρᾶγμα ἢ αἰτίαν : Αἰσχ.'Αγ.1321 οἰκτείρω σε θεσφάτου μόρου· || ὁμ. μτ. αἰτ. κ. ἐμπροθ. προσδ. : Ξεν.Οἰκ.2,4 ἐμὲ δὲ οἰκτίρεις ἐπὶ τῇ πενίᾳ, αὐτ.2,7 ὧν ἕνεκα οἰκτίρω σὲ μή τι ἀνήκεστον κακὸν πάθῃς καὶ εἰς πολλὴν ἀπορίαν καταστῇς· || μτ. αἰτ. πράγμ. : Εὐρ.Μήδ.1233 ὥς σου συμφορᾶς οἰκτ(ε)ίρομεν, 'Αριστφ.Σφ.328 πάθος οἰκτείρας, Μηναῖ.11,4'Ωδ.1 οἴκτειρον, ὅσιε, τὴν ταπείνωσιν ἡμῶν καὶ τὰς ὀδύνας· || κ. μτ. ἀπαρφ. ἢ μτ. ἐξηρτ. εἰδ. προτ. : Σοφ.Αἶ.652 οἰκτίρω δέ νιν χήραν παρ' ἐχθροῖς παῖδά τ' ὀρφανὸν λιπεῖν, Ξεν.'Αν.1,4,7 οἱ δ' ᾤκτ(ε)ιρον εἰ ἁλώσοιντο· 2) νεώτ. κ. δημ. ἐλεεινολογῶ, περιφρονῶ : σὲ οἰκτίρω γι' αὐτὸ ποὺ ἔκαμες· 3) ρηματ.π. οἰκτιρμός, οἰκτιρμοσύνη, οἰκτίρμων.
οἰκτίρρω αἰολ. ἀντὶ οἰκτίρω βλ.λ.
οἴκτισμα-ατος (τὸ) (οἰκτίζω) κλαυθμός, θρῆνος, πένθος : Εὐρ.'Ηρακλ.158 ἦν δ' εἰς γόους τε καὶ τὰ τῶνδ' οἰκτίσματα βλέφας πεπανθῇς.
οἰκτισμός (ὁ) (οἰκτίζω) θρῆνος, ὀδυρμός· 'Αμμών.102 «οἶκτος μὲν ἐστιν οἰκτιζομένου ἔλεος, οἰκτισμὸς δὲ ὁ λόγος τοῦ οἰκτείροντος» : Αἰσχ.Εὐμ. 189 καὶ μύζουσιν οἰκτισμὸν πολὺν ὑπὸ ῥάχιν παγέντες, Ξεν.Συμπ.1,16 καὶ ἐξεκάγχασεν ἐπὶ τῷ οἰκτισμῷ αὐτοῦ, Λογγῖν.'Υψ.9,12 τὰς ὀλοφύρσεις καὶ τοὺς οἰκτισμούς, ὡς πάλαι που προεγνωσμένους τοῖς ἥρωσιν, Φάλ.'Επιστ.50 ὁ πολὺς οἰκτισμὸς ἐπὶ τοῖς ὑφ' ἡμῶν ἀπολουμένοις.
οἴκτιστος-η-ον ἀνώμ. ὑπερθ. τοῦ οἰκτρός, ὁ ἄξιος πλείστου οἴκτου, ὁ ἀξιοθρηνητότατος : 'Ιλ.Χ 76 τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν, 'Οδ.Λ 412 θάνον οἰκτίστῳ θανάτῳ, αὐτ.Μ 258 οἴκτιστον δὴ κεῖνο ἐμοῖς ἴδον ὀφθαλμοῖσιν, Καλλ.Αἴτ.1,1,4 'Ατθίσιν οἰκτίστη, σὸν φάος, 'Ηριγόνη, 'Απολλ.Ρ 2,782 οἰκτίστοις ἐλέγοισιν ὀδύρεται, Λουκ.Προμ.4 οἴκτιστον θέαμα πᾶσι Σκύθαις, αὐτ.'Ανάχ.11 αὐτὸ τοῦτο, .. καὶ τὸ οἰκτιστόν ἐ-

στιν, εἰμὴ ἐπ' ὀλίγων ταῦτα πάσχουσιν· || τὸ οὐδ. κτ. πληθ. ὡς ἐπίρρ.: Ὀδ.Χ 472 ὅπως οἴκτιστα θάνοιεν, Λυκόφρ.1077, ASS Μαΐου 5,341Α.

οἰκτίστως ἐπίρρ. μτγν. κ. νεώτ. κατὰ τρόπον οἴκτιστον βλ.λ. : Φάλ.'Επιστ.96.

οἶκτος (ὁ) (οἰζω) κ. νεῶτ. αἴσθημα λύπης πρὸς τὴν κατάστασίν τινος, εὐσπλαχνία, συμπάθεια : Ὀδ.Β 81 οἶκτος δ' ἕλε λαὸν ἅπαντα, Ἡρ. 5,92,3 τὸν φρασθέντα τοῦτο οἶκτός τις ἴσχει ἀποκτεῖναι, Σοφ.Αἶ.525 ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ θέλοιμ' ἄν, αὐτ.Τρ.298 ἐμοὶ γὰρ οἶκτος δεινὸς εἰσέβη, Εὐρ.'Εκ.851 δι' οἴκτου χεῖρά θ' ἱκεσίαν ἔχω, αὐτ.Μήδ.931· || κ. μτ. γενικ. ἀντικ. : Ἡρ.1,165 πόθος καὶ οἶκτος τῆς πόλιος, Εὐρ. 'Εκ.519 διπλᾶ με χρῄζεις δάκρυα κερδᾶναι, .. σῆς παιδὸς οἴκτῳ· 2) ἡ ἔκφρασις λύπης, θρῆνος, ὀδυρμός : Αἰσχ.'Επτ.51 οἶκτος οὔτις ἦν διὰ στόμα, αὐτ.Χο.411 τόνδε κλύουσαν οἶκτον, Σοφ. Τρ.864 κλύω τινὸς οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου, Ἀνδοκ.1,48 ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακά· || κ. κτ. πληθ. : Αἰσχ.'Ικ 386 παθόντος οἴκτοις (διὰ τῶν θρήνων καὶ ὀδυρμῶν τοῦ παθόντος), Εὐρ.Τρῳ.155 ἀΐον οἴκτους οὓς οἰκτίζει, Πλάτ.Πολ.387D τοὺς ὀδυρμοὺς ἐξαιρήσομεν καὶ τοὺς οἴκτους· 3) νεώτ. περιφρόνησις, ἀποτροπιασμός : τόσον οἱ λόγοι σου, ὅσον καὶ αἱ πράξεις των προκαλοῦσι τὸν οἶκτον· 4) παράγ. οἰκτρός, οἰκτ(ε)ίρω, οἰκτίζω, ἀνοικτίστως.

οἰκτοσύνη (ἡ) μτγν. ὁ οἶκτος : Ἡρωδιαν.'Επιμ.232.

οἰκτριζόμενος Ἡσ.«ἐλεούμενος».

οἰκτρόβιος-ον μτγν. κ. μσν. ὁ διάγων βίον οἰκτρόν, ἄθλιον : Παῦλ.'Αλ.4, Τζέτζ.'Ησιόδ.13.

οἰκτρογόη (ἡ) μτγν. ἡ θρηνῳδία : Ὠριγ.Κατὰ Κέλσ.3,149 οἰκτρογοῶν ἀποπαύουσι.

οἰκτρόγοος-ον ὁ ἐκφράζων οἰκτρὸν γόον : Πλάτ.Φαῖδρ.267C οἰκτρογόων ἐπὶ γῆρας καὶ πενίαν ἑλκομένων λόγων.

οἰκτρογοοῦντας Ἡσ. «οἰκτιζομένους, ἐλεουμένους».

οἰκτροκέλευθος-ον μτγν. ὁ βαίνων οἰκτρὰν ὁδόν, ὁ κάμνων ἀθλίαν ὁδοιπορίαν : Μαν.4,222.

οἰκτρολογία (ἡ) (οἰκτρός,λόγος) μτγν. λόγος,ὁμιλία διεγείρουσα τὸν ἔλεον, ἡ ἐλεεινολογία : Πολυβ.2,124.

οἰκτρομέλαθρος-ον μτγν. ὁ ἔχων οἰκτρὰν κατοικίαν : Μαν.4,33.

οἰκτροπαθής-οῦς-ές 'Επιγρ. ὁ ὑποφέρων οἰκτρῶς : οἰκτροπαθῆ τέκεα.

οἰκτρός-ά-όν (οἶκτος) κ. μσν. κ. νεώτ., συγκρ. οἰκτρότερος κ. ὑπερθ. οἰκτρότατος, ἀνώμ. οἴκτιστος βλ.λ., ὁ ἐν οἰκτρᾷ καταστάσει διατελῶν, ὁ ἀξιοθρήνητος, ὁ ἐλεεινός : Ἰλ.Λ 242 κοιμήσατο χάλκεον ὕπνον οἰκτρός, Αἰσχ.'Ικ.61 δοξάσει τις ἀκούειν ὄπα τᾶς Τηρείας μήτιδος οἰκτρᾶς ἀλόχου, Σοφ.ΟΤ 58 ὦ παῖδες οἰκτροί, Νικ.Χων. ἐν Σάθ.1,116 στρουθίον λεληκὸς οἰκτρὸν καὶ μάτην πτερυγίζον συνείληφας· || κ. μτ. γενικ. : Πλούτ. Φλαμ.13 ἀεὶ μὲν οἰκτροὶ τῆς μεταβολῆς (ἄξιοι οἴκτου ἕνεκα τῆς μεταβολῆς)· || κ. ἐπὶ πραγμ., ὁ ἀξιοθρήνητος, ὁ ἐλεεινός : Πίνδ.Ο 7,77 τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ, Αἰσχ.Πρ.238 πάσχειν μὲν ἀλγειναῖσιν, οἰκτραῖσιν δ' ἰδεῖν, Σοφ.Φιλ. 1167 οἰκτρὰ γὰρ βόσκειν (ἡ κήρ), - ἡ κατάστασίς μου εἶναι οἰκτρά· κ. συγκρ. : Ἡρ.7,46 ἕτερα πεπόνθαμεν οἰκτρότερα· κ. ὑπερθ. : Πίνδ.Π 3,42 οἰκτροτάτῳ θανάτῳ· || κ. ἐν ἀπροσ. φρ. οἰκτρόν ἐστιν μτ. ἀπαρφ. : Αἰσχ.'Επτ.321 οἰκτρὸν γὰρ πόλιν ὧδ' ὠγυγίαν Ἀΐδα προϊάψαι· 2) ὁ ἄξιος περιφρονήσεως, ὁ ἐλεεινός, ὁ ἄθλιος : Αὐσ.'Επιστ. 40 οἰκτρὰ τέκνα, Εὐστ.1691,34 οἰκτρὰ τραγῳδία·

3) ἐν ἐνεργ. σημ. ὁ διεγείρων τὸν οἶκτον, ὁ κινῶν τὴν συμπάθειαν, ὁ συμπαθητικός· Ἡσ. «ἐλέου ἄξιος, ἐλεεινός» : Σοφ.'Ηλ.1066 κατά μοι βόασον οἰκτρὰν ὄπα τοῖς ἔνερθ' Ἀτρείδαις, αὐτ.Αἶ.629 οἰκτρᾶς γόον ὄρνιθος (ἐπὶ τῆς ἀηδόνος)· κ.ὑπερθ. : Ὀδ.Λ 421 οἰκτροτάτην δ' ἤκουσα ὄπα· || τὸ οὐδ. κτ. πληθ. ὡς ἐπίρρ. : Ὀδ.Δ 719 ἐπ' οὐδοῦ ἷζε πολυκμήτου θαλάμοιο οἴκτρ' ὀλοφυρομένη.

οἰκτρότης-ητος (ἡ) μτγν., σχόλ. κ. νεώτ. ἡ ἰδιότης τοῦ οἰκτροῦ, ἡ ἐλεεινότης, ἡ ἀθλιότης : Πολυβ.3,116, Σχόλ.Εὐρ.'Ορ.672.

οἰκτρόφωνος-ον σχόλ. ὁ ἔχων φωνὴν οἰκτρὰν ἐλεεινήν : Σχόλ.'Ιλ.Ρ 5 κινυρὴ δὲ οἰκτρόφωνος.

οἰκτροχοῶ-έω κωμ. χέω οἰκτρὰν φωνήν, ἐκπέμπω θλιβερὸν ᾆσμα : Ἀριστφ Σφ.555 ἱκετεύουσίν θ' ὑποκύπτοντες, τὴν φωνὴν οἰκτροχοοῦντες

οἰκτρῶς ἐπίρρ. κ. νεώτ., ἀ. οἰκτρά, συγκρ. οἰκτρότερα, ὑπερθ. οἰκτρότατα, κατὰ τρόπον οἰκτρόν, ἄθλιον, ἐλεεινά : Αἰσχ.Πέρσ.688 καὶ ψυχαγωγοῖς ὀρθιάζοντες γόοις οἰκτρῶς καλεῖσθέ με, Σοφ.'Ηλ.102 οὕτως αἰκῶς οἰκτρῶς τε θανόντος, Λυσ.32,10 οἰκτρῶς ὑπὸ τοῦ πάθους διακείμενοι· || κ. συγκρ. : Παλλδ.ΑΠ 10,65,2 πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα· || κ. ὑπερθ. : Εὐρ.'Ηλ.1209 οἰκτρόταθ', .. ἐν κλυδωνίοις ἁλός, Δημ.1312.

οἰκυλα (τά) μτγν. εἶδος σιτηροῦ : 'Επ. ἐν Πάπ. οἰκυλά τε ζειαί τε.

Fοικόπολις-ως (ἡ) 'Επιγρ. παμφυλ. λ. ἀμφ. σημ.

Fοίκω ἐπίρρ. 'Επιγρ. ἐπὶ ἰδίοις ἐξόδοις.

οἰκῶ-έω (οἶκος) κ. νεώτ., ἐπ.οἰκείω (Ἡσίοδ.Θ 330), λοκρ. Fοικέω ('Επιγρ.1, παρατ. ᾤκουν κ. ἐπ. ᾤκεον ('Ιλ.Υ 218) κ. ἰων. οἴκεον (Ἡρ.1,57), μέλλ. οἰκήσω (Εὐρ.ΙΑ 1508) κ. μέσ. μέλλ. οἰκήσομαι (Μέν. ἐν Ρήτ. 363S), ἀόρ. ᾤκησα (Ἡρ.1,1) κ. μέσ. ᾠκησάμην (Ἀριστείδ.1,103J) κ. παθ. ᾠκήθην ('Ιλ.Β 668), παρακ. ᾤκηκα (Σοφ.'Ηλ.1101) κ. μέσ. ᾤκημαι κ. ἰων. οἴκημαι κ. ἰων. γ' πληθ. οἰκέαται (Ἡρ.1,172), μτ. αἰτ. ἔχω ὡς κατοικίαν μου, κατοικῶ : Ἰλ.Υ 218 ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης, Ἡρ.1,1 οἰκήσαντας τοῦτον τὸν χῶρον, Αἰσχ.'Ικ.961 πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους, αὐτ.Εὐμ.194, Πάπ. οἱ τὴν κώμην οἰκοῦντες· κ. μτφ. : Εὐρ.ΙΑ 1507 ἕτερον αἰῶνα καὶ μοῖραν οἰκήσομεν· || κ. παθ. κατοικοῦμαι : Ἰλ.Δ 18 οἰκέοιτο πόλις Πριάμοιο (σχόλ. «ὄντως οἰκοῖτο»), Ἡρ.1,170 τὰς ἄλλας πόλιας οἰκεομένας .. νομίζεσθαι, αὐτ.2,32 ἰέναι τὰ πρῶτα μὲν διὰ τῆς οἰκεομένης (διὰ μέσου τῆς κατῳκημένης χώρας), Σόφ.Φιλ.221 ἐς γῆν .. οἰκουμένην· || κ. ἀμτβ. ἐπὶ ἀνθρώπων μοναδικῶν ἢ οἰκογενειῶν ὡς καὶ ἐπὶ ὁλοκλήρων ἐθνῶν, π. Ὁμ. κ. Ἡρ. μτ. τῆς προθ. ἐν, π. τοῖς μεθ' Ὅμ. μτ. δοτ. ἢ ἐμπροθ. μτ. τῆς παρά, ὑπό, εἰς, κατά κ.ἄ., ἔχω τὴν κατοικίαν μου, τὸ σπίτι μου, κατοικῶ : Ἰλ.Ξ 116 ᾤκεον δ' ἐν Πλευρῶνι, Ὀδ.Ι 200 ᾤκει γὰρ ἐν ἄλσεϊ δενδρήεντι, Ἡρ.1,56 οἴκεε ἐν Πίνδῳ, Πίνδ.Ν 10,58 οἰκεῖν τ' οὐρανῷ, αὐτ.Π 3,34 παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει παρθένος, Εὐρ. Ἴων 314 ναοῖσι δ' οἰκεῖς τοισίδ' ἢ κατὰ στέγας, αὐτ.ΙΤ 1098 παρὰ Κύνθιον ὄχθον οἰκεῖ, αὐτ.ἀπ.454 εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονὸς ἐν τοῖσιν οὐκέτ' οὖσιν, Καλλ.'Αρτ.20 οὔρεσιν οἰκήσω, Πάπ. οἰκῶν ἐν Ἡρακλέους πόλει· πρβλ. Ἀριστφ.'Ορν. 968 ὅταν οἰκήσωσι λύκοι πολιαί τε κορῶναι ἐν ταὐτῷ τὸ μεταξὺ Κορίνθου καὶ Σικυῶνος· || κ. μτφ. : Σοφ.ΟΤ 1390 τὸ γὰρ τὴν φροντίδ' ἔξω τῶν κακῶν οἰκεῖν γλυκύ (εἶναι εὐχάριστον εἰς τὸν νοῦν νὰ εἶναι ἐλεύθερος ἀπὸ φροντίδων), Μηναϊ. 'Ωδ.3 οἰκήσαν ψυχαῖς ὑμῶν σοφοί· || μτ. τῆς μετὰ κ. γενικ. ἐπὶ συμβιώσεως μετὰ γυναικός, συγκατοικῶ : Σοφ.ΟΤ 414 οὐδ' ὅτων οἰκεῖς μέτα· || πάπ. κ. νεώτ. διαμένω ἔν τινι οἰκίᾳ, ἐνοικῶ, κατοικῶ : Πάπ. τοῦ δεῖνα οἰκοῦντος ἐν οἰκίᾳ

αὐτ. οἰκία ἐν ᾗ οἰκοῦμεν· 2) μτγν. αἰτ. τοῦ τόπου, ἐγκαθίσταμαι ἔν τινι τόπῳ : Εὐρ.ἀπ.360,11 (πιθ.), Θουκ.1,8 οὗτοι γὰρ δὴ τὰς πλείστας τῶν νήσων ᾤκησαν· ‖ ἐν τῷ παθ. παρακ. κ. ὑπερσυντ. γίνομαι κάτοικος τόπου τινός, ἐγκαθίσταμαί που : Ἡρ.1,27 τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι· πρβλ.αὐτ.1,142 τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσους οἰκέαται· 3) παθ. κατοικίζομαι, ἀποκαθίσταμαι, ἐγκαθίσταμαι : Ἰλ.Β 668 τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν (σχόλ. «τριχῶς δὲ οἰκισθέντες, ταῖς πατρῴαις ἐχρήσαντο φυλαῖς»)· ‖ π.Ἡρ. ὁ παθ. παρακ. ἔχει σημ. ἐνεστ.: Ἡρ.1,27 ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, αὐτ.1,28 οἱ ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένοι· 4) ἀμτβ. ὡς παθ. ἐπὶ πόλεων, κεῖμαι, εὑρίσκομαι : Ἡρ.2,166 οὗτος ὁ νομὸς ἐν νήσῳ οἰκέει, ἀντίον Βουβάστιος πόλιος, Ξεν.Ἑλλ.7,1,3 πλεῖσται γὰρ πόλεις τῶν δεομένων τῆς θαλάττης περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, αὐτ.7,5,5· πρβλ.Ἰσοκρ.10,35 τὴν πόλιν σποράδην καὶ κατὰ κώμας οἰκοῦσαν (ἀποτελουμένην ἐκ χωριστῶν κωμῶν)· κ. παθ. : Ἡρ.1,193 παρ' ὃν Νίνος πόλις οἴκητο (ποταμόν), Ξεν.Ἀν.1,4,1 τῆς Κιλικίας ἐσχάτην πόλιν ἐπὶ τῇ θαλάττῃ οἰκουμένην, Πολύβ.4,56,4 Σινώπη . . οἰκεῖται δὲ ἐπί τινος χερρονήσου προτεινούσης εἰς τὸ πέλαγος· ‖ κ. μέσ. μέλλ. ἐν παθ. σημ. : Θουκ.8,67 καθ' ὅτι ἄριστα ἡ πόλις οἰκήσεται, Δημ.1341 οὐδ' ὡς διὰ τοῦτο χεῖρον ἡ πόλις οἰκήσεται· 5) ἐπὶ οἴκου ἢ πόλεως, διοικῶ, διευθύνω, κυβερνῶ : Σοφ.ΟΚ 1535 αἱ δὲ μυρίαι πόλεις, κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν, Εὐρ.Ἡλ.386, Θουκ. 3,37 οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλέον ἄμεινον οἰκοῦσι τὰς πόλεις, Ἰσοκρ.2,19 οἴκει τὴν πόλιν ὁμοίως ὥσπερ τὸν πατρῷον οἶκον· ‖ κ. μτφ. : Εὐρ. ἀπ.145 μὴ τὸν ἐμὸν οἴκει νοῦν (μὴ διεύθυνε)· κ. παθ. : Εὐρ.Ἱππ.486 εὖ οἰκουμένας πόλεις, Πλάτ.Πολ.371C ἐν μὲν ταῖς ὀρθῶς οἰκουμέναις πόλεσι σχεδόν τι οἱ ἀσθενέστατοι . . ἄλλο ἔργον πράττειν, αὐτ.Νόμ.936B, Δημ.503 πατρίδος τετυχὼς ἢ νόμοις . . μάλιστα οἰκεῖσθαι δοκεῖ· ‖ κ. ἀμτβ. κυβερνῶμαι, διευθύνομαι : Θουκ.2,37 καὶ ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται (κυβερνᾶσθαι κατὰ τὸ συμφέρον τῶν ὀλίγων ἢ τῶν πολλῶν), Ξεν.Ἀπομν.1,2,64 ᾗ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι, Πλάτ.Πολ.599D τίς τῶν πολλῶν διὰ σὲ βέλτιον ᾤκησεν· 6) ρηματ. π. οἴκημα, οἰκητής, οἰκήτωρ, οἰκητήρ, οἰκητήριος, οἰκητήριον, οἰκητός, οἰκήσιμος.

οἰκῶναξ-ακτος (ὁ) (ἄναξ) ὁ ἄναξ, ὁ κύριος τοῦ οἴκου, ὁ οἰκοδεσπότης· Ἡσ. ἐν λ. ἑστιοῦχος.

οἰκώς-υῖα-ός Ἰων. ἀντὶ ἐοικὼς βλ.λ.

οἰκωφελής-οῦς-ές (οἶκος, ὠφελῶ) μτγν. ὁ χρήσιμος τῷ οἴκῳ, ὁ διὰ τὸν οἶκον ὠφέλιμος, ὁ οἰκονομικός : Θεόκρ.28,2 νόος οἰκωφελής .. ἐπάβολος (διόρθ. οἰκωφελίας).

οἰκωφελία (ἡ) (οἰκωφελής), ἐπ. -ίη ὠφέλεια διὰ τὸν οἶκον, οἰκονομία, νοικοκυροσύνη· Εὐστ. «κατὰ τοὺς παλαιοὺς ἡ οἰκουρία καὶ ἐπιμέλεια τοῦ οἴκου διὰ γεωργίας τυχὸν ἢ τοιούτου τινός, οὐ μὴν δι' ἀποδημίας τῆς κατ' ἐμπορίαν, ἢ κατὰ πόλεμον» : Ὀδ.Ξ 223 τοῖος ἔα ἐν πολέμῳ· ἔργον δέ μοι οὐ φίλον ἔσκεν οὐδ' οἰκωφελίη, Θεόκρ.28,2 δῶρον.. γύναιξιν, νόος οἰκωφελίας αἶσιν ἐπάβολος· ‖ ἡ ἐπιμέλεια, ἡ φειδώ, ἐξ ἧς ὁ οἶκος ὠφελεῖται, ἀντίθ. οἰκοφθορία : Ναυμάχ.π.Στοβ.4,23,7.

οἰκωφελῶς ἐπίρρ. μτγν. κατὰ τρόπον οἰκωφελῆ βλ.λ., οἰκονομικῶς : Δίων Κ 56,7 οἰκωφελῶς βιῶντε.

οἰλάωμα Ἡσ. «τὸ προστιθέμενον τῇ πλάστιγγι τοῦ ζυγοῦ, ἐὰν μὴ ἰσορρεπῇ».

οἶμα-ατος (τὸ) (οἰμάω) ἔφοδος, ὁρμή, λύσσα, ἐφόρμησις βιαία, οἴμημα, ὅρμημα : Ἰλ.Π 752 οἶμα λέοντος ἔχων, αὐτ.Φ 252 αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος (σχόλ. «ὁρμήματα» (ἔχων τὴν ὁρμὴν τοῦ ἀετοῦ)· ‖ ἐπὶ ὄφεως : Κόϊντ.6,201.

οἶμαι συνηρ. τ. ἀντὶ οἴομαι βλ.λ.

οἰμάω (οἴμη) ποι. ἐν χρ. μ. κτ. μέλλ. κ. ἀόρ., μέλλ. οἰμήσω (Χρησμ.π.Ἡρ.1,62), ἀόρ. οἴμησα (Ἰλ.Χ 308), ἐπὶ ἁρπακτικῶν ὀρνέων, ὁρμῶ ἐπί τινος, ἐφορμῶ : Ἰλ.Χ 140 κίρκος . . ῥηιδίως οἴμησε μετὰ τρήρωνα πέλειαν, Ὀδ.Ω 538 οἴμησεν δὲ ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις (σχόλ. «ἀθρουν συστρέψας ἑαυτόν, ὥρμησεν»)· 2) ἀπολ. ὁρμῶ, τρέχω : Χρησμ. π. Ἡρ.1,62 θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός· 3) ρηματ. π. οἴμημα.

οἴμη (ἡ) (οἶω) ποι. ᾆσμα, τραγούδι· Ἡσ. «ἡ ᾠδή, παρὰ τὸ ἐν ταῖς οἴμοις φάλλεσθαι, τουτέστι ταῖς ὁδοῖς· ὅθεν καὶ προοίμιον ἐπὶ τῶν ποιημάτων» : Ὀδ.Θ 74 οἴμης τῆς . . κλέος οὐρανὸν εὐρὺν ἵκανε, αὐτ.Θ 481 οἴμας Μοῦσ' ἐδίδαξε, αὐτ.Χ 347 θεὸς δέ μοι ἐν φρεσὶν οἴμας παντοίας ἐνέφυσεν, Ἀνακρεόντ.32,14 οἴμην δῶκε Φοῖβος τέττιγι, Λυκόφρ.11 αἰνιγμάτων οἴμας, Καλλ.Δῆλ.9 Δήλῳ νῦν οἴμης ἀποδάσσομαι, Ἀπολλ.Ρ 4,150 οἴμῃ θελγόμενος· 2) Ἡσ. «οἴμη, λόγος, ἱστορία».

οἰμηδοκῶ-έω μσν. ἐνεδρεύω : Θεόγνωστ.Καν. 22· πρβλ. ὁδοιδοκῶ.

οἴμηλα Ἡσ. «οἰμίηλα, ἀκρόδρυα».

οἴμημα-ατος (τὸ) (οἰμάω) Ἡσ. «ὅρμημα».

οἰμητεύει μσν. κ. λεξ. διοδεύω· Ἡσ. «διαπορεύεται» : Θεόγνωστ.Καν.22.

οἴμοι (οἴ) κ. νεώτ. π. Ὁμ. ὤμοι, π. τραγ. κ. κωμ. εὕρηται κ. κτ. ἔκθλιψιν πρὸ τοῦ ὡς (Σοφ.ΑΙ.354, Κρατῖν.183) ἐπιφών. ἄλγους, τρόμου, οἴκτου, θλίψεως, πόνου, καὶ τῆς ἀπροσδοκήτου συμφορᾶς, ἐκφερόμενον ἀπολ. ἢ κτ. ὀνομαστ., ἀλίμονον, ὀϊμέ : Σοφ.Τρ.971 οἴμοι ἐγὼ σοῦ μέλεος, αὐτ. Ἀντ.86 οἴμοι, καταύδα, Ἀριστφ.Ἀχ.590 οἴμ' ὡς τεθνήξεις, αὐτ.Εἰρ.257 οἴμ' οἴμοι τάλας, αὐτ.Νεφ. 773 οἴμ' ὡς ἥδομαι, Μηναῖ.11,12 Σταυροθ. οἴμοι! τέκνον ἐμόν· ‖ κ. μτ. γενικ. τοῦ πράγμ. οὗ ἕνεκα στενάζει τις : Θέογν.891 ὡς οἴμοι ἀναλκείης, Σοφ.Ἠλ.1179 οἴμοι ταλαίνης ἄρα τῆσδε συμφορᾶς, Εὐρ.Ἱππ.1454 οἴμοι φρενὸς σῆς, Λουκ.Κατάπλ. 20 οἴμοι τῶν κτημάτων· 2) παράγ. οἰμώζω.

οἶμος (ὁ) (φέρω) ἀττ. κ. μτγν. ἐπ. ἡ οἶμος κ. ὁ οἶμος (Σοφ.Ἰχν.168, Παρθ.ἀπ.31) ὁδός, δρόμος, ἀτραπός· Ἡσ.«ὁδός, τρίβος» : Ἡσίοδ.Ἔργ.290 μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν καὶ τρηχὺς τὸ πρῶτον, Πίνδ.Π 4,248 καί τινα οἶμον ἴσαμι βραχύν, Αἰσχ.Πρ.394 λευρὸν οἶμον αἰθέρος, αὐτ. ἀπ.239 ἁπλῆν οἶμον . . εἰς Ἅιδου φέρειν, Εὐρ. Ἄλκ.835 ὀρθὴν παρ' οἶμον, ἣ 'πὶ Λάρισαν φέρει, Πλάτ.Πολ.420B τὸν αὐτὸν οἶμον . . πορευόμενοι, Μέν.681 ἄλλην οἶμον ἐκπορεύεται, Ἑλλ. Ἐπιγραμμ.227 λυγρὴν θ' οἶμον ἔβην· 2) π. Ὁμ. κτ. πληθ. σειραί, ζῶναι, λωρίδες· Εὐστ. «ζῶναι, ὁδοί, ῥάβδοι ὀρθαί» : Ἰλ.Λ 24 δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο, δώδεκα δὲ χρυσοῖο καὶ εἴκοσι κασσιτέροιο· 3) μέρος, λωρὶς γῆς, χώρας : Αἰσχ.Πρ.2 Σκύθην ἐς οἶμον· 4) μτφ. ἐπὶ ᾄσματος, ὁ τρόπος, τὸ μέλος, ὁ ἦχος : Ὕμν.Ἑρμ.451, Πίνδ.Ο 9,47 ἔγειρ' ἐπέων σφιν οἶμον λιγύν, Καλλ. Δία 78 Φοίβου δὲ λύρης εὖ εἰδότας οἴμους.

οἰμωγή (ἡ) (οἰμώζω) κ. μσν. θρηνώδης κραυγή, ὀδυρμός, ὀλοφυρμός, στεναγμός : Ἰλ.Δ 450 ἔνθ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν ὀλλύντων τε καὶ ὀλλυμένων, αὐτ.Χ 409 κωκυτῷ καὶ οἰμωγῇ, αὐτ.Ω 696 οἰμωγῇ τε στοναχῇ τε, Ἡρ.3,66 οἰμωγῇ ἀφθόνῳ διεχρέοντο, Αἰσχ.Πέρσ.426, Σοφ.ΑΙ. 317 ἐξῴμωξεν οἰμωγὰς λυγράς, Εὐρ.Ἡρακλ.833 στεναγμὸν οἰμωγήν θ' ὁμοῦ, Ἀριστφ.Εἰρ.1276·

Θουκ.7,7) **ἀπὸ μιᾶς ὁρμῆς οἰμωγῇ τε καὶ στόνῳ πάντες,** Ξεν.Ἑλλ.2,2,3 **ἡ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν,** Μηναῖ. (Ι,6 Συνξ. **πάντων τοῖς ἱεροῖς μετ' οἰμωγῶν καὶ ἄλλης ἱκεσίας προσπεφευγότων.**

οἴμωγμα-ατος (τὸ) (οἰμώζω) κραυγὴ θρηνητική, θρῆνος : Αἰσχ.Ἑπτ.1023 **μήτ' ὀξυμόλποις προσσέβην οἰμώγμασιν,** Εὐρ.Βάκχ.1112 **πίπτει πρὸς οὖδας μυρίοις οἰμώγμασι Πενθεύς.**

οἰμωγμός (ὁ) (οἰμώζω) ἡ οἰμωγή, ὁ θρῆνος, ὁ ὀλολυγμός : Σοφ.ἀπ.941,5 **ἔστι δ' ἵμερος ἄκρατος, ἔστ' οἰμωγμός.**

οἰμώζω (οἴμοι) κ. νεώτ., παρατ. **ᾤμωζον** (Ἀριστφ. Λυσ.516), μέλλ. μέσ. ὡς ἐνεργ. **οἰμώξομαι** (Εὐπ.305, Ξεν.Ἑλλ.2,3,56) κ. μτγν. **οἰμώξω** (Πλούτ.Ἠθ.182D, Ἀγαθ.ΑΠ 5,301,2), ἀόρ. **ᾤμωξα** (Ἰλ.Μ 162) κ. παθ. ἐν μτχ. **οἰμωχθείς** (Θέογν.1204), μτχ. παθ. παρακ. **ᾠμωγμένος** (Εὐρ.Βάκχ.1285), φωνάζω οἴμοι, κλαίω μεγαλοφώνως, θρηνῶ, ὀδύρομαι : Ἰλ.Η 125 **ἦ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,** αὐτ.Μ 162 **ᾤμωξέν τε καὶ ὦ πεπλήγετο μηρώ,** αὐτ.Χ 408, Ἡρ 7,159 **ἦ κε μέγ' οἰμώξειε ὁ Πελοπίδης Ἀγαμέμνων,** Σοφ.Ἀντ.1226 **στυγνὸν οἰμώξας ἔσω χωρεῖ πρὸς αὐτόν·** ‖ ἐπὶ τετραυματισμένου : Ἰλ. Ε 68 **γνὺξ δ' ἔριπ' οἰμώξας,** Ὀδ.Σ 398 **οἰμώξας πέσεν·** ‖ μτ. συστ. αἰτ. : Θεόπομπ.Κωμ.64 **Τελαμῶνος οἰμώζοντες ἀλλήλοις μέλη·** **2)** μτβ. μτ. αἰτ. μέμφομαι, ὀλοφύρομαι, οἰκτίρω, λυποῦμαί τινα : Αἰσχ.Χο.8 **οὐ γὰρ παρὼν ᾤμωξα σόν .·. μόρον,** Σοφ.Ἠλ.788, Εὐρ.Ἱππ.1405 **ᾤμωξα τοίνυν καὶ πατρὸς δυσπραξίας,** αὐτ.248· κ. παθ. : Θέογν. 1204 **οὐδ' ἐπὶ τύμβῳ οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ,** Εὐρ.Βάκχ.1286 (δ.γρ.)· **3)** συνήθ. κατάρας τυπικὴ ἔκφρασις, ἔρρ' ἐς κόρακας, κρημνίσου, σκάσε : Ἀριστφ.Ἀχ.1035 **ἀλλ' ἀπιὼν οἴμωζέ που,** αὐτ.Βάτρ.257 **οἰμώζετ'· οὐ γάρ μοι μέλει,** αὐτ.Ὄρν.1503 **οἴμωζε μεγάλα,** Ξεν.Ἑλλ. 2,3,56 **ἂν δὲ σιωπῶ, οὐκ ἄρ' .. οἰμώξομαι,** Δημ. 938 **πενιχροῦ . . σοφιστοῦ καὶ οἰμωξομένου·** **4)** ρηματ.π. οἴμωγμα, οἰμωγμός, οἰμωγή, οἰμωκτία, οἰμωκτός, οἰμωξία, οἴμωξις, οἰμωκτικός.

οἰμωκτί ἐπίρρ. λεξ. μετὰ κλαυθμῶν· Ζωνάρ. 1438 «μετὰ θρήνου».

οἰμωκτία (ἡ) δ.γρ. ἀντὶ οἰμωξία βλ.λ.· π. Φώτ.

οἰμωκτικός-ή-όν σχόλ. ὁ ἔχων τάσιν πρὸς τὴν οἰμωγήν, τὸν θρῆνον, **ὁ** θρηνώδης, ὁ ἐλεεινός : Σχόλ.Σοφ.Φιλ.203.

οἰμωκτός-ή-όν (οἰμώζω) ὁ ἄξιος οἴκτου, ὁ ἀξιοθρήνητος : Ἀριστφ.Ἀχ.1195 (διόρθ. αἰακτόν).

οἰμωξία (ἡ) (οἰμώζω) ἡ οἰμωγή· Ἡσ. «οἰμωξία· τὸ οἰμῶξαι», Φώτ. (δ.γρ. οἰμωκτία).

οἴμωξις-εως (ἡ) (οἰμώζω) μτγν. ἡ οἰμωγή, θρῆνος, κλαύσιμον : Ἀγαθ.3,5,302.

οἰμώσσω μτγν., ἀττ. **οἰμώττω** οἰμώζω, θρηνῶ : Σύμμ.ΠΔ Μαλ.2,13, Λιβάν.Λόγ.1,39 **οἰμώττουσι δὴ τοῖς ὧδε πεπραγμένοις.**

-οιν Ἐπιγρ. κατάληξις εὐκτ. γ' πληθ. ἀντὶ -οιεν.

οἶνα Ἡσ. «τὰ τῆς ἀμπέλου φύλλα».

οἰναγγεῖον (τὸ) πάπ. λάγυνος οἴνου.

οἰναγορά (ἡ) νεώτ. ἡ ἀγορὰ οἴνων, τὸ οἰνεμπόριον· **2)** τόπος, ἐν ᾧ δύναταί τις ν' ἀγοράσῃ οἴνους, οἰνοφόρος τόπος.

οἰνάγρα (ἡ) μτγν. εἶδος βοτάνης, ὁ οἰνοθήρας : Διοσκ.4,118 (δ.γρ. ὀνάγρα).

οἰνᾰγωγός-όν (οἶνος, ἄγω) **ὁ** φέρων, ὁ κομίζων οἶνον, ὁ οἰνοφόρος : Κρατῖν.370 **οἰναγωγὸν πλοῖον,** Φερεκρ.143,4 **βαθείας κύλικας, ὥσπερ ὁλκάδας οἰναγωγούς,** Πολυδ.

οἰνᾰδοθήρας (ὁ) (οἰνάς) μτγν. ὁ θηρευτὴς οἰνάδων, ὁ κυνηγὸς ἀγρίων περιστερῶν : Αἰλ.ΖΙ 4,38 **καλοῦνται δέ, ὡς ἀκούω, καὶ ἐν τῇ Σπάρτῃ τινὲς οἰναδοθῆραι.**

οἰνάζω Ἡσ. «μονάζω».

Ϝοίνακες Ἡσ. «γοίνακες· βλαστοί».

οἰνάλμη (ἡ) μτγν. οἶνος ἀναμεμειγμένος μεθ' ἅλμης : Σωρ.1,81.

οἰνανθαιθήρ-ῆρος (ὁ) νεώτ. χημ. τεχνητὸν οἰνέλαιον ἐξ ἐκπιεσθείσης οἰνοζύμης.

οἰνανθάριον (τὸ) μτγν. κ. μσν. ὑποκορ. τοῦ οἰνάνθη βλ.λ. : Ἀλέξ.Τραλλ.7,3, Παῦλ.Αἰγ.7,21,Φώτ. 177,21 **σκευασίας οἰνανθαρίων.**

οἰνάνθη (ἡ) (οἴνη) κ. μσν. κ. νεώτ., δωρ. **οἰνάνθα** Ἀμμών. «ἡ πρώτη τῶν βοτρύων ἐξάνθησις», Σουΐδ. «ἡ πρώτη ἔκφυσις τῆς ἀμπέλου» : Ἀριστφ.Βάτρ. 1320 **οἰνάνθας, γάνος ἀμπέλου, βότρυος ἕλικα παυσίπονον,** Θεόφρ.ΦΑἰτ.3,14,8· **2)** τὸ ἄνθος τῆς σταφυλῆς : Θεόφρ.ΦΙ 5,9,6, Διοσκ.1,46, Γεωπ. 5,51, αὐτ.5,4· **3)** τὸ ἄνθος τῆς ἀγρίας ἀμπέλου, δι' οὗ παρεσκευάζετο εὐῶδές τι ἔλαιον, ὀνομαζόμενον οἰνάνθινον : Διοσκ.151 **οἰνάνθην τὴν ἐκ σταφυλῆς·** ‖ ὁ ἐκ σταφυλῆς ἀγρίας ἀμπέλου παραγόμενος οἶνος : Διοσκ.5,5· **4)** μτφ. κτ. πληθ. αἱ πρῶται λεπτόταται τρίχες εἰς τὸ γένειον νεανίου, καθ' ὁμοιότητα τῶν πρώτων λεπτῶν καὶ τριχοειδῶν ἐκφύσεων τῆς ἀμπέλου : Πίνδ.Ν 5,6 **οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν** (σχόλ. «θέλει οὖν λέγειν ὅτι οὔπω καιρὸν τοῦ γενειάσκειν ἔχων, οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν . . ὁ δὲ νοῦς οὔπω ἐν τῇ γενειάδι δεικνὺς τὴν ἁπαλὴν ὥραν καὶ ὀπώραν, τουτέστιν οὔπω γενειάσκων»· **5)** ποι. ἡ ἄμπελος : Σοφ. 255,4 **χλωρὸν οἰνάνθης δέμας,** Εὐρ.Φοίν.231 **οἰνάνθας ἱεῖσα βότρυν,** Ἀριστφ.Ὄρν.588 **τὰς οἰνάνθας αἱ πάρνοπες οὐ κατέδονται,** Καλλ.ἀπ.115 **Λεσβίης νέκταρ οἰνάνθης·** **6)** φυτόν τι ὅμοιον τῇ ἀμπέλῳ : Κρατῖν.98, Ἀριστλ.ΖΙ 549b,33 **ὅμοιον βοστρυχίοις οἰνάνθης καὶ λεύκης καρπῷ,** Θεόφρ. ΦΙ 6,8,1,Διοσκ.3,120· ‖ νεώτ. βοταν. γένος φυτῶν τῆς οἰκογενείας τῶν **σκιαδανθῶν,** σγαράντζι· **7)** πτηνόν τι ἀποδημητικόν, ἡ οἰνάς, ἀσπρόκωλος : Ἀριστλ.ΖΙ 633a,15· **8)** εἶδός τι κολλυρίου : Ἀσκληπιάδ.Πρ.π.Γαλ.13,540.

οἰνανθίνη (ἡ) νεώτ. χημ. **ἡ** ἐπτίνη βλ.λ.

οἰνάνθῐνος-η-ον (οἰνάνθη) ὁ παρασκευαζόμενος ἐκ τῶν ἀνθέων τῆς ἀγρίας ἀμπέλου, ὁ ἐξ οἰνάνθης, οἷον ἔλαιον εὐῶδες, οἶνος : Θεόφρ.Ὀσμ. 27 **οἰνάνθινον μύρον,** Διοσκ.1,56 **οἰνάνθινον ἔλαιον,** αὐτ.5,24 **οἰνάνθινος οἶνος,** Ἀθήν.15,689Α **οἰνάνθινον δ' ἐν Ἀδραμυττίῳ πάλαι μὲν μέτριον.**

οἰνανθίς-ίδος (ἡ) ἄνευ ὑποκορ. σημ. ἡ οἰνάνθη βλ.λ.) : Ἴβυκ.1,4 **αἵ τ' οἰνανθίδες αὐξόμεναι σκιεροῖσιν ὑπ' ἔρνεσιν οἰναρέοις θαλέθοισιν.**

οἰνανθόλη (ἡ) νεώτ. χημ. ἄχρουν ἔλαιον ἐντόνου χαρακτηριστικῆς ὀσμῆς.

οἰναποθήκη (ἡ) νεώτ. διαμέρισμα κτιρίου **ἢ** κ. ὅλον κτίριον ἐν χρ. πρὸς ἀποθήκευσιν οἴνου.

οἴναρα Ἡσ. «τὰ τῆς ἀμπέλου φύλλα».

οἰναρέα (ἡ) δ.γρ. τὸ οἰνάρεον : Θεόκρ.7,134.

οἰνάρεον (τὸ) μτγν. ποι. τὸ φύλλον τῆς ἀμπέλου : Θεόκρ.7,134 **ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι** (δ.γρ. οἰναρέαισι).

οἰνάρεος-α-ον ὁ ἐκ φύλλων ἀμπέλου κατασκευασθείς : Ἴβυκ.1,6 **ὑπ' ἔρνεσιν οἰναρέοις θαλέθοισιν,** Ἱππ.Γυν.2,195 **ἐπὶ σποδίην οἰναρέην.**

οἰνᾰρίζω (οἴναρον) κόπτω τὰ φύλλα τῆς ἀμπέλου ὅταν ὡριμάζωσιν αἱ σταφυλαί· Φαvl. «οἰναρίζειν τὸ περιαιρεῖν τῶν οἰναρέων καὶ τρυγᾶν. δεῖ γὰρ οἰναρίζειν τὰς ἀμπέλους, ἐπειδὰν πεπαίνωσιν οἱ βότρυες» : Ἀριστφ.Εἰρ.1147 **οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον οὐδὲ τυτλάζειν.**

οἰνάριον (τὸ) ὑποκορ. τοῦ οἶνος, ἀδύνατος, ἀχρεῖος, ἄθλιος οἶνος : Δημ.933 **τό τ' οἰνάριον τὸ Κῷον ὀγδοήκοντα στάμνοι ἐξεστηκότος οἴνου,**

Δίφιλ.60,8 **ἐμβαλεῖς οἰνάριον εἰς λάγυνον,** Βαλσ. Καν.18 **τὸν κανόνα διὰ τοὺς ἱερωμένους ἐμπορευομένους οἰνάρια·** ‖ κ. ἄνευ εὐτελιστικῆς σημ. κρασάκι : Πολίοχ.2,7 **θλαστή τ' ἐλαία, καὶ πιεῖν οἰνάριον,** Πάπ.· **2)** ὀλίγος οἶνος : Ἐπίκτ.Ἐγχ.12, Λουκίλλ.ΑΠ 11,187,6 **ἐς βραχὺ σιταρίου κέρμα καὶ οἰναρίου,** Σωρ.1,64, Θεόφρ.Χαρ.17,2 **ἐφθόνησέ μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου,** Πάπ. **ὁ τόπος τῶν οἰναρίων·** **3)** ἡ ἄμπελος : Γαλ.19,125.

οἰνᾰρίς -ίδος (ἡ) τὸ κλῆμα· Ἐρωτ. «οἰναρίδας· τὰ κλήματα τῶν ἀμπέλων» : Ἱππ.Γυν.2,206· **2)** Ἡσ. «κληματίς».

οἶνᾰρον (τό) τὸ φύλλον τῆς ἀμπέλου, τὸ ἀμπελόφυλλο, κληματόφυλλο : Ξεν.Οἰκ.19,18 **ἄμπελος περιτανύουσα τὰ οἴναρα,** Θεόφρ.Φ 9,13,5 **ἔχει δὲ τὸ μὲν φύλλον ὥσπερ οἴναρον, μικρὸν δὲ καὶ τὴν χροιὰν ὅμοιον,** αὐτ.9,11 **ἄμπελος διατηρεῖ τὸν καρπὸν ἄνευ οἰνάρων,** Βάβρ.34,2 (δ.γρ. οἰνάσιν)· **2)** τὸ κλῆμα, ἡ ἄμπελος : Ἀλκίφρ.3,22 **ὁλοκλήρους ἀπέτεμον τῶν οἰνάρων τοὺς βότρυς.**

οἴναρος (ὁ) δ.γρ. πιθ. κόμαρος : Θεόφρ.Φ 1,9,3.

οἰνάς-άδος (ἡ) κ. μσν. ἡ οἴνη, ἡ ἄμπελος : Ἴων Ἐλεγ.1,4 **ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον πτόρθον ἀνασχομένη θαλερῷ ἐπτύξατο πήχει αἰθέρος,** Σιμμ.ΑΠ 7,193,2 **πτώσσουσαν βρομίης οἰνάδος ἐν πετάλοις·** **2)** Ἡσ. «οἰνάδες· ἀμπελώδεις τόποι»· **3)** ὁ οἶνος, τὸ κρασί : Νίκ. Ἀλεξ.354 **ἢ ἀπὸ βάκχης ἢ ἀπὸ μυρτίνης ὁτὲ μυρτίδας οἰνάδι βάλλων·** **3)** κτ. πληθ. αἱ Μαινάδες : Ὀππ.Κυν.4,233 **γυναῖκες οἰνάδες·** **4)** ἐπίγρ. ὡς ἐπίθ. ὁ πλήρης οἴνου, ὁ οἰνώδης : Μακεδ.ΑΠ 9,645,7 **πρώταις δ' ἡμετέρῃσιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος,** ΑΠλ.15,1 **ὁ πρὶν ἀεὶ Βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ . . Σάτυρος·** **5)** εἶδος ἀγρίας περιστερᾶς ἐχούσης πτίλωμα ἐρυθρωπόν· Ἡσ. «εἶδος περιστερᾶς ἀγρίας», Εὐστ.1712 «οἰνάς, μείζων περιστερᾶς, οἰνωπὸς τὸ χρῶμα» : Ἀριστλ.ΖΙ 544b,6 **δεύτερον δὲ ἡ οἰνάς· αὕτη δὲ μικρῷ μείζων ἐστὶ τῆς περιστερᾶς,** αὐτ.593b,19 **περιστερὰ δὲ καὶ φάττα καὶ τρυγὼν καὶ οἰνὰς διτοκοῦσι,** Λυκόφρ. 358 **γαμφαῖσιν ἅρπης οἰνὰς ἑλκυσθήσομαι,** Αἰλ. ΖΙ 4,58· πρβλ. οἰνιάς.

οἰναχθής-οῦς-ές Ἡσ. «μέθυσος, μεθύων».

Fοινέες Ἡσ. «γοινέες· κόρακες».

οἰνέλαιον (τό) μτγν. κ. μσν. οἶνος μετ' ἐλαίου ἀνάμεικτος : Διοσκ.4,150,7, Ἡλιόδ.Χειρ.π.Ὀρειβ.44, 11,11, Γαλ.13,404, Ἰππιατρ.22.

οἰνεμπόριον (τό) νεώτ. τὸ ἐμπόριον οἴνων, ἡ οἰναγορά· ‖ ἡ εἰς τὴν παραγωγὴν καὶ κατανάλωσιν τῶν οἴνων ἀφορῶσα ἐμπορικὴ κίνησις : **τὸ οἰνεμπόριον διέρχεται κρίσιν.**

οἰνέμπορος (ὁ) μτγν. κ. νεώτ. ὁ ἔμπορος οἴνων, ὁ ἀγοράζων μεγάλας ποσότητας οἴνου καὶ πωλῶν ἐπίσης κατὰ μεγάλας ποσότητας, χονδρικῶς : Ἀρτεμίδ.Δαλδ.3,8.

οἰνεραστής (ὁ) μτγν. ὁ ἐραστὴς τοῦ οἴνου, ποὺ ἀγαπάει τὸ κρασί : Αἰλ.ΠΙ 2,41.

οἰνεύομαι ἀποθ. Ἐρωτιαν. «πίνειν».

οἰνεών-ῶνος (ὁ) ἰων. ἀντὶ οἰνὼν βλ.λ. : Γεωπ.7,7,6.

οἴνη (ἡ) (1) ποι., δωρ. **οἴνα** ἡ ἄμπελος· Ἀθήν.2, 35Β «οἱ γὰρ παλαιοὶ Ἕλληνες οἴνας ἐκάλουν τὰς ἀμπέλους», Ἡσίοδ.Α 292 **οἱ δ' ἐτρύγων οἴνας, δρεπάνας ἐν χερσὶν ἔχοντες,** Ἑκατ.Μ 15J, Εὐρ. Βάκχ.535 **ναὶ τὰν βοτρυώδη Διονύσου χάριν οἴνας,** Μοσχ.6,12, Ὀρφ.ἀπ.282 **ἀδευκέας οἴνας,** Ἑλλ.Ἐπιγράμμ.88,5 **βοτρυώδεος οἴνης,** Ἐπιγρ. **γάνος οἴνας·** **2)** ὁ οἶνος, τὸ κρασί : Λεωνίδ. Ταρ.ΑΠ 6,334,5 **σκύφος ἔμπλεον οἴνης,** Λυκόφρ. 660 **οἴνης σκύφον προτείνων,** Νίκ.Θηρ.622, Μελέαγρ.ΑΠ 12,49,3 **πλῆρες ἀφυσσάμενος σκύφος οἴνας.**

οἴνη (ἡ) (2) (οἶος) μτγν. ὁ ἐπὶ τῶν κύβων ἀριθμὸς ἕν· Πολυδ.7,204 «ἔστι δὲ οἴνη παρὰ τοῖς Ἴωσι μονάς» : Ἀχαι.56,Ζηνόβ.4,23 **ἢ τρεῖς ἓξ ἢ οἴνας·** **2)** Σουΐδ. «οἴνας· τοὺς κύβους» : Σχόλ.Πλάτ.460· πρβλ. Κόντ. ἐν Ἀθηνᾷ 1,113.

οἰνηγή (ἡ) πάπ. ἐπὶ ἁμάξης, ἡ μεταφέρουσα οἶνον, ἡ οἰνοφόρος : Πάπ. **ἔχουσι γὰρ γενὰς (καινὰς) οἰνηγάς.**

οἰνηγία (ἡ) (ἄγω) μτγν. ἡ ἀγωγή, ἡ μεταφορὰ τοῦ οἴνου : Κλήμ.Ἀλ.185 **οἰνηγίαι διαπόντιοι,** Πάπ. **ἀνάλωμα οἰνηγίας.**

οἰνηγός-ή-όν πάπ. κ. Ἐπιγρ. ὁ ἄγων, ὁ μεταφέρων οἶνον : Πάπ. **ἐχέτωσαν τὰς οἰνηγὰς σοργάνας,** σύτ. **οἰνηγὸν πλοῖον·** ‖ Ἐπιγρ. **οἱ οἰνηγοί** οἱ ἄγοντες, φέροντες οἶνον.

οἰνηρός-ά-όν ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸν οἶνον, ὁ τοῦ οἴνου : Ἀνακρ.161 **οἰνηρὸς θεράπων** (ὁ ὑπηρέτης τοῦ οἴνου, ὁ κεραστής), Εὐρ.ΙΖ 164 **Βάκχου τ' οἰνηρὰς λοιβάς,** Νίκ.Ἀλεξ.534 **οἰνηρὴν . . τρύγα,** Ἀντίγ.Καρ.ΑΠ 9,406,2 **οἰνηραῖς χεῦεν ὑπὸ σταγόσι·** ‖ ὁ ἐξ οἴνου, ὁ οἰνώδης : Ἀριστλ.Πρ.873a,20 **οἰνηρὰ ὑγρότης·** **2)** ἐπὶ ἐπιδέσμων, ὁ ἐμβεβαπτισμένος εἰς οἶνον, ὁ διάβροχος ἐξ οἴνου, μουσκεμένος μὲ κρασί : Ἱππ.Ἀγμ.24 **οἰνηροὶ σπλῆνες·** ‖ ἐπὶ ἰατρικῆς, ἡ θεραπευτικὴ δι' ἐπιθεμάτων ἐμβεβαπτισμένων εἰς τὸν οἶνον : Ἱππ.Ἀγμ.34 **οἰνηρῇ ἰητρείῃ·** **3)** ὁ πλήρης οἴνου, ὁ γεμάτος κρασί : Πίνδ.Ν 10,43 **σὺν οἰνηραῖς φιάλαις ἀπέβαν,** Ἡρ.3,6 **κεράμιον οἰνηρόν,** Κρατῖν. 187 **κ' οὐδ' ὀξύβαφον οἰνηρὸν ἔτι κεκτήσεται,** Αἰσχ.ἀπ.96 **μήτε κρωσσοὺς μήτ' οἰνηροὺς μήθ' ὑδατηροὺς λιπεῖν ἀφνεοῖσι δόμοισι,** Εὐρ.Ἴων 1179 **οἰνηρὰ τεύχη σμικρά·** **4)** ἐπὶ μέτρων, δι' ὧν μετρεῖται ὁ οἶνος : Ἀριστλ.ΗΝικ.1135a,2 **οὐ γὰρ πανταχοῦ ἴσα τὰ οἰνηρὰ καὶ σιτηρὰ μέτρα·** **5)** ἡ **οἰνηρά** ὡς ούσ. ὁ φόρος τοῦ οἴνου : Ἐπιγρ.· **6)** ἐπὶ χωρῶν, ὁ παράγων ἄφθονον οἶνον, ὁ οἰνοπαραγωγός : Καλλ.ἀπ.115 **ἀπ' οἰνηρῆς Χίου·** πρβλ. Ἀρίστων ΑΠ 7,457 **οἰνηρῶν . . θειλοπέδων.**

οἰνήρυσις-εως (ἡ) (ἀρύω) ἀγγεῖον πρὸς ἄντλησιν οἴνου : Ἀριστφ.Ἀχ.1067 **φέρε τὴν οἰνήρυσιν ἵν' οἶνον ἐγχέω λαβὼν ἐς τοὺς χόας,** Φιλ.1,390.

οἰνιάξ Ἡσ. «εἶδος κόρακος».

οἰνιάς-άδος (ἡ) μτγν. εἶδος ἀγρίας περιστερᾶς, ἀ. οἰνάς βλ.λ.· Πολυδ.6,22.

οἰνιαστήρια (τά) ἀ. οἰνιστήρια βλ.λ. : Εὐστ.907,18.

οἰνιδίνη (ἡ) νεώτ. χημ. τὸ κύριον συστατικὸν τῆς ἐρυθρᾶς χρωστικῆς τοῦ οἴνου.

οἰνίδιον (τό) μτγν. ὑποκορ. τοῦ οἶνος, οἰνάριον, μικρὰ ποσότης οἴνου : Ἀπολλδ.π.Διογ.Λ 10,11 **κοτύλη οἰνιδίου.**

οἰνιεῖς Ἡσ. «ὀξεῖς, ταχεῖς».

οἰνίζω (1) (οἶνος) ἔχω γεῦσιν, ὀσμὴν οἴνου : Θεόφρ.π.Ἀπολλ.Παραδ.43 **δι' ὅλου δὲ τοῦ βίου οἱ κόκκοι τὸ οἰνίζον ἔχουσιν,** Διοσκ.1,13 **οἰνίζουσαν τῇ ὀσμῇ·** πρβλ. Γαλ.14,13· **2)** μέσ. λαμβάνω οἶνον δι' ἀνταλλαγῆς, προμηθεύομαι, ἀγοράζω οἶνον· Σουΐδ. «οἰνισάμενοι· οἶνον ἀγοράσαντες» : Ἰλ.Η 472 **οἰνίζοντο . . Ἀχαιοὶ ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,** αὐτ.Θ 506 **οἶνον μελίφρονα οἰνίζεσθε,** Μάξ.Τύρ.39,1 **ἐκ Λήμνου οἰνίζοντο,** Λουκ.Ἀλ.Ἱστ.1,9 **καὶ ἐκ τοῦ ποταμοῦ οἰνισάμενοι·** πρβλ. Κόντ. ἐν Ἀθηνᾷ 1,113.

οἰνίζω (2) (οἴνη (2)) Ἡσ. «οἰνίζειν· τὸ μονάζειν».

οἰνικός-ή-όν Ἐπιγρ., πάπ. κ. νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸν οἶνον, ὁ ἐξ οἴνου : Πάπ. **ἔπεμψα πρὸς σὲ παιδίον, ἵνα ἀπαιτῇ τὰ οἰνικὰ γενήματα,** αὐτ. **οἰνικαὶ συγγραφαί,** Ἡσ. ἐν λ. κάδος **μέτρον σιτικὸν καὶ οἰνικόν,** Σουΐδ. ἐν λ. Κριός **ἐν ταῖς οἰνικαῖς ἀποστάσεσι,** - **οἰνικὸν ζήτημα,** - **οἰνικὴ πολιτική,** - **οἰνικὸν συνάλλαγμα.**

οἰνίνη (ἡ) νεώτ. χημ. ἡ ἐρυθρὰ χρωστικὴ τοῦ οἴνου.

οἴνινος-η-ον ὁ ἐξ οἴνου παρεσκευασμένος : Ἀρχέστρ.ἀπ.23,8 **μήθ' ὕδατος πηγὴν.. μήτ' οἴνινον ὄξος** συμμίξῃς.

οἰνίσκος (ὁ) ὑποκορ. τοῦ οἶνος, οἰνίδιον, οἰνάριον, κρασάκι : Κρατῖν.183, Εὔβουλ.131 **καὶ μιλήσιος οἰνίσκος οὔπω ποταμός.**

οἰνιστήρια (τὰ) κ. **οἰνιαστήρια** ἑορτὴ ἐν Ἀθήναις, διεξαγομένη ἐπὶ τῇ ἐνάρξει τῆς ἐφηβικῆς ἡλικίας τῶν παίδων, καθ' ἣν οἱ γονεῖς ἀπέκειρον τὸν μαλλόν, κόννον ἢ σκόλλυν τῶν υἱῶν αὐτῶν καὶ ἐνέγραφον τούτους εἰς τὴν τάξιν τῶν ἐφήβων, προσέφερον δὲ τότε σπονδὴν πρὸς τὸν Ἡρακλέα καὶ ἔδιδον εἰς τοὺς προσκεκλημένους νὰ πίωσιν· Πολυδ.3,52 «ἡ δὲ ὑπὲρ τῶν εἰς τοὺς φράτορας εἰσαγομένων παιδίων οἴνου ἐπίδοσις οἰνιστήρια ἐκαλεῖτο», Ἡσ. «Ἀθήνῃσιν οἱ μέλλοντες ἐφηβεύειν πρὶν ἀποκείρασθαι τὸν μαλλόν, εἰσέφερον Ἡρακλεῖ μέτρον οἴνου· καὶ σπείσαντες, τοῖς συνελθοῦσιν ἐπεδίδουν πίνειν· ἡ δὲ σπονδὴ ἐκαλεῖτο οἰνιστήρια», Εὐστ.907 «οἰνιστήρια, σπονδὴ τελουμένη τῷ Ἡρακλεῖ ὑπὸ τῶν ἐφήβων πρὶν ἀποκείρασθαι» : Εὐπ.135.

οἰνιστηρία (ἡ) μτγν. ποτήριον ἐξ οὗ ἔπινον οἱ φράτορες : Παμφ.π.Ἀθήν.11,494F **οἱ μέλλοντες ἀποκείρειν τὸν σκόλλυν, εἰσφέρουσι τῷ Ἡρακλεῖ μέγα ποτήριον, πληρώσαντες οἴνου, ὃ καλοῦσιν οἰνιστηρίαν, καὶ** σπείσαντες **συνελθοῦσι** διδόασι **πιεῖν**· πρβλ. οἰνίστρια.

οἰνίστρια (ἡ) μτγν. Πολυδ.6,22 «ἡ δὲ οἰνίστρια, οἴνου δόσις ὑπὲρ τῶν παίδων ἐν τοῖς φράτορσιν».

οἰνιφυκτήρ-ῆρος (ὁ) πάπ. ἄ. οἰνοφυκτήρ βλ.λ.

οἰνοβαρείων-ωνος (ὁ) ἐπ. ὁ οἰνοβαρής, ὁ μεθυσμένος : Ὀδ.Ι 374 **ὁ δ' ἐρεύγετο οἰνοβαρείων,** αὐτ.Κ 555 **κατελέξατο οἰνοβαρείων.**

οἰνοβάρελ(λ)ο(ν) (τὸ) νεώτ. βυτίον πρὸς ἐναποθήκευσιν οἴνου, κρασοβάρελο.

οἰνοβαρής-οῦς-ές (οἶνος, βάρος) κ. νεώτ. **ὁ** ὑπὸ τοῦ οἴνου βεβαρημένος, μεθυσμένος, κρασωμένος : Ἰλ.Α 225 **οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων,** Σιμων.ΑΠ 7,24,5 **οἰνοβαρὴς φιλόκωμος,** Πλούτ. Συμπ.678B **πρῶτον αὐτὸν οἰνοβαρῆ προσείρηκεν, ὡς μάλιστα τῶν νοσημάτων τὴν οἰνοφλυγίαν** προβαλλόμενος.

οἰνοβαρόμετρον (τὸ) νεώτ. ὄργανον δι' οὗ προσδιορίζομεν μετ' ἀρκετῆς ἀκριβείας καὶ ταχέως τὰς ἐν τῷ οἴνῳ ὑπαρχούσας στερεὰς οὐσίας πλὴν τοῦ σακχάρου, τὰς ἀποτελούσας τὸ ἐκχύλισμα αὐτοῦ.

οἰνοβαρῶ-έω, μτχ. παθ. παρακ. **οἰνοβεβαρημένος** (σχόλ.), εἶμαι βεβαρημένος ἐξ οἴνου, εἶμαι μεθυσμένος, κρασωμένος : Θέογν.503 **οἰνοβαρέω κεφαλήν,.. καί με βιᾶται οἶνος,** Στοβ.Ἀνθόλ.18,17 **οἰνοβαρῶ κεφαλήν**· κ. παθ. : Σχόλ. Ἰλ.Α 225 **οἰνοβαρές· οἰνοβεβαρημένε** (ἀντὶ οἴνῳ βεβαρημένε).

οἰνοβαφής-οῦς-ές (βάπτω) μτγν. κ. νεώτ. **ὁ** εἰς τὸν οἶνον βεβαμμένος : Νόνν.Δ 7,17 **οἰνοβαφὴς λοιβή**· **2)** νεώτ. ὁ ἔχων τὸ χρῶμα τοῦ οἴνου.

οἰνοβλαβής-οῦς-ές μτγν. ὁ ἔκδοτος εἰς τὴν μέθην, ὁ μπεκρής : Κατ.Ἀστρλ.Κ 8(3),186.

οἰνοβραχής-οῦς-ές (οἶνος, βρέχω) μτγν. ὁ ὑπὸ οἴνου βεβρεγμένος, μεθυσμένος, κρασωμένος : Μελέαγρ.ΑΠ 7,428,18.

οἰνοβρώς-ῶτος (ὁ,ἡ) μτγν. ὁ ἐν οἴνῳ τρωγόμενος : Νίκ.Ἀλεξ.493 **ἄλλοτε δ' οἰνοβρῶτα βορὴν ἐν κυρτίδι θλίψας** (σχόλ. «ἐν οἴνῳ τρωγομένην βοράν, σταφυλήν»).

οἰνόγαλα-ακτος (τὸ) νεώτ. ποτὸν ἐξ οἴνου καὶ γάλακτος, ἀναγραφόμενον ὡς διαιτητικὸν ὑπὸ μαθητῶν τοῦ Ἱπποκράτους : Ἱππ.Γυν.1,80, αὐτ.Ἐπ.7,82 (δ.γρ. ὄνείῳ γάλακτι)· **2)** νεώτ. γάλα ὑποστὰν οἰνοπνευματικὴν ζύμωσιν, κουμίς.

οἰνόγαρον (τὸ) μτγν. γάρον μετ' οἴνου μεμειγμένον, καθαρτικὸν κρασόγαρον : Ἀέτ.3,85.

οἰναγεύστης (ὁ) μτγν. ὁ διὰ τῆς γεύσεως δοκιμάζων τὴν ποιότητα τοῦ οἴνου : Ἀρχιγ.π.Γαλ.8, 944· πρβλ. Κόντου Γλωσσ.Παρατ.433· **2)** νεώτ. λευκοσιδηροῦς σωλήν, ἐμβαπτιζόμενος εἰς βαρέλια ἢ δεξαμενὰς οἴνου πρὸς δειγματοληψίαν, **ἤτοι** παραλαβὴν μικρᾶς ποσότητος διὰ δοκιμήν.

οἰνογευστία (ἡ) μτγν. τὸ δοκιμάζειν, γεύεσθαι οἴνου : Φίλ.4,228.

οἰνογευστικός-ή-όν μτγν. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν γεῦσιν τοῦ οἴνου· ‖ **ἡ οἰνογευστική** ὡς οὐσ. ἡ τέχνη, ἐμπειρία τοῦ δοκιμάζοντος τοὺς οἴνους : Σέξτ.Ἐμπ.Μαθ.6,33 **χωρὶς οἰνογευστικῆς ἡδόμεθα οἴνου γευσάμεναι.**

οἰνογευστῶ-έω κ. μσν. γεύομαι οἴνου : Ἀντιφάν.83 **οἰνογευστεῖ, περιπατεῖ ἐν ταῖς στεφάνοις,** Γεωπ.7,7,1.

οἰνογραφία (ἡ) νεώτ. εἰδικὸς κλάδος τῆς **οἰνολογίας,** ἀσχολούμενος **εἰς τὴν** περιγραφὴν **τῶν** διαφόρων κατὰ τόπους οἴνων.

οἰνόδεσμον (τὸ) γλώσσ. τοῦ οἰνοπέπηκτον· **π.Ἡσ.**

οἰνοδόκος-ον **ὁ** περιέχων οἶνον, ὁ χρησιμεύων ὡς δοχεῖον οἴνου : Πίνδ.Ι 6(5),40 **οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν,** Μαικ.ΑΠ 6,33 **οἰνοδόκον κύλικα**· ‖ τὸ ἀρσ. ὡς οὐσ. μτ. γενικ. : Ἀντίφιλ.ΑΠ 6,257 **τὸν Ἀδριακοῦ νέκταρος οἰνοδόκον.**

οἰνοδοσία (ἡ) μτγν. ἡ δόσις, ἡ διανομὴ οἴνου: Ἰω.Χρυσ.Ὁμ.5,140· **2)** ἡ παροχὴ οἴνου κατὰ συμβουλὴν τοῦ ἰατροῦ : Ἡρόδ.Ἰατρ.π.Ὀρειβ. 5,27,1.

οἰνοδότειρα (ἡ) λεξ. θηλ. τοῦ οἰνοδότης, ἡ διδοῦσα οἶνον· Θησ.Στεφ.ἐν λ.

οἰνοδότης (ὁ), δωρ.**οἰνοδότας,** ἄ. **οἰνοδώτης** ἐπὶ τοῦ Βάκχου, ὁ διδοὺς τὸν οἶνον : Εὐρ.Ἡρ.682 **παρά τε Βρόμιον οἰνοδόταν παρά τε χέλυος ἑπτατόνου μολπάν**· ‖ ἐπὶ ἰατροῦ : Γαλ.Θρασ.24.

οἰνοδοτῶ-έω μτγν. δίδω τινὶ οἶνον, συμβουλεύω τὴν χρῆσιν οἴνου : Ἡρόδ.Ἰατρ.π.Ὀρειβ.5,27,1· **2)** ρηματ. π. οἰνοδότης, οἰνοδοσία.

οἰνοδοχεῖον (τὸ) μτγν. κ. νεώτ. δοχεῖον πρὸς ἐναποθήκευσιν οἴνου, βυτίον : Ἥρων Πνευμ.3,21.

οἰνοδόχος-ον μτγν. ὁ περιέχων οἶνον, ὁ οἰνοδόκος : Ἥρων Πνευμ 2,21, ΕΜ 247,2· ‖ τὸ ἀρσ. ὡς οὐσ. ὁ οἰνοχόος : ΠΔ Τωβ.1,22 (δ γρ.οἰνοχόος).

οἰνοδυνάστης (ὁ) μτγν. ὁ ἐν οἴνῳ ἰσχυρός, ὁ μεθυσμένος, ὁ κρασωμένος : Ἰσίδ.Πηλ.1,351 **τί τοὺς οἰνοδυνάστας ἐρεθίζεις;.**

οἰνοδώτης (ὁ) οἰνοδότης βλ.λ.: Ἀνών.Λονδ.24,30.

οἰνοειδής-οῦς-ές λεξ. κ. νεώτ. ὁ ὁμοιάζων κατὰ τὴν γεῦσιν ἢ τὸ χρῶμα ἢ τὴν σύστασιν πρὸς οἶνον· Ησ. ἐν λ. οἰνωπόν, - **οἰνοειδῆ ποτά.**

οἰνόεις-εντος-εσσα-εν ὁ πλήρης οἴνου· ‖ τὸ θηλ. ἐν συνηρ. τ. οἰνοῦττα βλ.λ.

Οἰνόη (ἡ) (οἶνος) ὄν. δύο ἀττικῶν δήμων, ὧν ὁ μὲν πρὸς τὰ σύνορα Βοιωτίας, ὁ δὲ παρὰ τὸν Μαραθῶνα, ἐξ οὗ παροιμ.π.Ζηνοβ.5,29 **Οἰνόη** (ἡ **Οἰναῖοι**) **τὴν χαράδραν** (ἐπὶ προκαλοῦντος τὸν ἴδιον ὄλεθρον)· πρβλ.Ἡρ.5,74, Θουκ.2,18· ‖ **οἰναῖοι** οἱ τοὺς ἄνω δήμους οἰκοῦντες : Ἐπιγρ.

οἰνοθηθής (ὁ) μτγν. ὁ διηθῶν, καθυλίζων, **ὁ** στραγγίζων τὸν οἶνον : Παρμενί.π.Ἀθήν.13,608A **οἰνοθηθὰς ἑβδομήκοντα.**

οἰνοθήκη (ἡ) κ. μσν. οἰναποθήκη βλ.λ. **: Γεωπ.6,2.**

οἰνοθήρας (ὁ) κ. ἐν χειρογρ. **ὀνοθήρας** φυτόν τι,οὗ ἡ ρίζα εἶχεν ὀσμὴν οἴνου ἢ ἐχρησίμευε πρὸς παρασκευὴν οἴνου : Θεόφρ.Φl 9,19,1 **ἡ δὲ τοῦ οἰνοθήρα ρίζα δοθεῖσα ἐν οἴνῳ, πραότερον ποιεῖ καὶ ἱλαρώτερον τὸ ἦθος**· ‖ νεώτ. θηλ. γένος ὀναγριδῶν φυτῶν.

οἰνοθηρίς-ίδος (ἡ) μτγν. κ. **ὀνόθηρις τὸ φυτὸν** οἰνοθήρας βλ.λ. : Πλίν.Φl 24,17.

οἰνόθρυπτος-ον (θρύπτω) μτγν. ὁ διὰ τοῦ οἴνου ἐκτεθηλυμμένος, ἐξαδυνατισμένος : Θεόκρ.15, 27 (δ. γρ. αἰνόθρυπτος).

οἰνοκάπηλος (ὁ) μτγν., ὁ διατηρῶν οἰνοπωλεῖον, ταβερνιάρης : Σέξτ.Ἐμπ.Μαθ.1,14).

οἰνοκάχλαινα (ἡ) μσν. ἡ οἰνοκάχλη, ἡ μέθυσος : Ψελλ.π.Θησ.Στεφ.ἐν λ. **γυναῖκα δὲ τὴν φίλοινον οἰνοκάχλαιναν λέγε.**

οἰνοκάχλη (ἡ) ἐσφ.ἀναγν. ἀντὶ οἰνομάχλη, ἐπὶ γυναικός, ἡ εἰς οἰνοποσίαν ἀκόλαστος, ἄγαν ἐπιρρεπής, μεθύστρα, μπεκρού : Θεόπομπ.Κωμ.78, Κλήμ. Ἀλ.Παιδ.2,187 **οἰνοκάχλη γυνή.**

οἰνοκηκίς-ῖδος (ἡ) μτγν. στυπτικὸν πεποιημένον ἐκ βεβρασμένων κηκίδων εἰς οἶνον : Γαλ.12,25.

οἰνόκρεον (τὸ) μτγν. κρέας διατηρούμενον ἐντὸς ὄξους : Μαλάλ.12,9.

οἰνολάσπη (ἡ) νεώτ. ἡ στερεὰ ὑποστάθμη ἡ συσσωρευομένη ἐπὶ τοῦ πυθμένος τῶν οἰνοδοχείων μετὰ τὸ πέρας τῆς ζυμώσεως τοῦ γλεύκους καὶ τὴν διαύγασιν τοῦ παραχθέντος οἴνου.

οἰνόληπτος-ον (λαμβάνω) μτγν. ὁ ὑπὸ τοῦ οἴνου κατειλημμένος, ὁ μέθυσος : Πλούτ.Ἠθ.4B **ἀνδράποδον οἰνόληπτον καὶ λίχνον, πρὸς πᾶσαν πραγματείαν ἄχρηστον.**

οἰνολογία (ἡ) πάπ. κ. νεώτ. φόρος ἐπιβεβλημένος ἐπὶ τοῦ οἴνου· **2**) νεώτ. κλάδος τῆς βρωμστοχημείας, ἀφορῶν εἰς τὴν μελέτην, ἐξακρίβωσιν καὶ καθορισμὸν τῶν κατ' ἐπιστήμην καὶ ἐμπειρίαν κανόνων καὶ συνθηκῶν τῆς παρασκευῆς καὶ τῆς διατηρήσεως τοῦ οἴνου.

οἰνολογικός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν οἰνολογίαν βλ.λ.2) ἢ τὸν οἰνολόγον : **οἰνολογικὸν ἐργαστήριον, - οἰνολογικὰ ὄργανα.**

οἰνολόγος (ὁ) νεώτ. ὁ εἰδικὸς ἐπιστήμων ἢ ὁ ἐμπειροτέχνης, ὁ ἀσχολούμενος εἰς τὰ τῆς καλῆς συστάσεως καὶ γεύσεως τῶν οἴνων, ὁ ἐπιτηδευόμενος τὴν θεραπείαν καὶ διατήρησιν τῶν οἴνων.

οἰνολογῶ-έω μτγν. ὁμιλῶ περὶ οἴνου : Ἀθήν. 2,40F **οἰνολογήσαντος ἤτοι περὶ οἴνου εἰπόντος.**

οἰνομαγειρεῖον (τὸ) νεώτ. κατάστημα ἑστιατόριον ἅμα καὶ οἰνοπωλεῖον, ταβέρνα.

οἰνομάγειρος (ὁ) νεώτ. ὁ διατηρῶν οἰνομαγειρεῖον, ὁ ταβερνιάρης.

οἰνομανής-οῦς-ές μτγν., μσν. κ. νεώτ. ὁ ἐμμανῶς ἀγαπῶν τὸν οἶνον, ὁ οἰνοπότης, ὁ κρασοπατέρας, ὁ μπεκρής : Ἀθήν.11,464B **καὶ γὰρ ὁ φίλοφος καὶ ὁ ὀψοφάγος οἷον ὀψομανής ἐστι, καὶ ὁ φίλοινος οἰνομανής.** Εὐστ.Ἰλ.702,38.

οἰνομανία (ἡ) νεώτ. ἡ ἐμμανὴς ἀγάπη πρὸς τὸν οἶνον, ἡ ἀκράτητος οἰνοποσία, τὸ μπεκρηλίκι.

οἰνομάχλη (ἡ) ὀρθ. τ. τοῦ οἰνοκάχλη βλ.λ. : Θεόπομπ.Κωμ.78.

οἰνόμελι-ῖτος (τὸ) μτγν. κ. νεώτ. ποτὸν ἐκ κράματος οἴνου καὶ μέλιτος· Διοσκ.5,16 «οἰνόμελι τὸ ἐκ τοῦ αὐστηροῦ οἴνου καὶ μέλιτος ἑφθοῦ γινόμενον, ἧττον πνευματοῖ» : Πολύβ.12,2,7 **οἰνομέλιτι χρηστῷ παραπλήσιος,** Ποσειδών.1J, Μελέαγρ.ΑΠ 12,164 **καὶ οἰνομέλιτος πόματι, χορηγούσης τῆς χώρας τὸ μέλι παμπληθές,** Γαλ.10,356.

οἰνομετρία (ἡ) νεώτ. ὁ δι' εἰδικοῦ ὀργάνου προσδιορισμὸς τοῦ ἐν τῷ οἴνῳ περιεχομένου οἰνοπνεύματος, ὀρθότ. οἰνοπνευματομετρία.

οἰνομετρικός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὴν οἰνομετρίαν ἢ τὸ οἰνόμετρον βλ λς.

οἰνόμετρον (τὸ) νεώτ. φυσ. ὄργανον, δι' οὗ προσδιορίζεται ἡ περιεκτικότης τοῦ οἴνου εἰς οἰνόπνευμα, τὸ οἰνοσκόπιον.

οἰνομετρῶ-έω Ἐπιγρ. μετρῶ οἶνον : Ἐπιγρ. **ἐβουθύτησέν τε καὶ οἰνομέτρησεν πᾶσι.**

οἰνομήτωρ-ορος (ἡ) ποι. μτφ. ἐπὶ τῆς ἀμπέλου, μήτηρ τοῦ οἴνου : Ἀστυδ.6 **θνητοῖσι τὴν ἀκεσφόρον λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον.**

οἰνόμ(ε)ικτος-ον νεώτ. ἀνάμεικτος μετ' οἴνου.

οἰνομύρσινον (τὸ) μσν. οἶνος ἐν μυρτελαίῳ : Παῦλ.Αἰγ.7,12,31 (δ.γρ.).

οἶνον (τὸ) μ.κτ. πληθ. Ἡσ. «οἶνα· **τὰ τῆς ἀμπέλου** φύλλα».

οἰνοξιδάση (ἡ) νεώτ. ὀξιδωτικὸν φύραμα ὀξιδοῦν διὰ τοῦ ἀτμοσφαιρικοῦ ὀξυγόνου τὴν χρωστικὴν τοῦ οἴνου καὶ ἐπιφέρον τὴν ἀμαύρωσιν αὐτοῦ, τὴν θεραπευομένην διὰ παστερισμοῦ.

οἴνοξος-ους (τὸ) νεώτ. τὸ ἐξ οἴνου ὄξος.

οἰνοπαραγωγή (ἡ) νεώτ. ἡ παραγωγὴ οἴνου ἔν τινι τόπῳ : **ἡ οἰνοπαραγωγὴ τῆς Μεσσηνίας**· **2**) ἡ βιομηχανία οἴνων.

οἰνοπαραγωγός-όν νεώτ. ἐπὶ τόπων, ὁ παράγων οἴνους : **χώρα οἰνοπαραγωγός**· **2**) **τὸ** ἀρσ. οὐσ. ὁ ἔχων ὡς κατ' ἐξοχὴν εἰσόδημα τὸν ἐκ τῶν ἀμπέλων του οἶνον, ὁ ἀμπελοκτήμων : **οἱ οἰνοπαραγωγοὶ κατῆλθον εἰς συλλαλητήριον.**

οἰνοπαραλήμπτης (ὁ) πάπ., δ.γρ. **-ημπτής** ὁ ἀναλαμβάνων τὴν πώλησιν οἴνων.

οἰνοπέδη (ἡ) μτγν. γῆ ἀμπελοφόρος, ἀμπελότοπος, τὸ οἰνόπεδον : Γαιτ.ΑΠ 11,409,4 **οἷος πρώτης ἦλθες ἀπ' οἰνοπέδης.**

οἰνόπεδος-ον κ. -η-ον ['Οππ.Κυν.331] κ. μσν. ὁ ἔχων ἔδαφος κατάλληλον πρὸς παραγωγὴν οἴνου, ὁ ἔχων χώραν ἀμπελοφόρον, οἰνοφόρον : Ὀδ.Α 193 **ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο,** Μόσχ.4,100 **ἑρπύζοντ' ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο**· **2**) ὁ παράγων ἄφθονον οἶνον : Ὀππ.Κυν.4,331 **οἰνοπέδησι φυτηκομίησι μεμηλώς**· **3**) τὸ οἰνόπεδον ὡς οὐσ. γῆ ἀμπελοφόρος, ἀμπελών, ἀμπελότοπος : Ἰλ.Ι 579 **τέμενος . . τὸ μὲν ἥμισυ οἰνοπέδοιο,** Θέογν.838 **Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον,** Θεόκρ.24,130 **οἰνόπεδον μέγα Τυδεὺς ναῖε,** Πλούτ.Ἠθ.604C, Ἀνν.Κομν.14,456 **ἀρούρας τε καὶ οἰνόπεδα καὶ οἰκίας.**

οἰνοπέπαντος-ον μτγν. ἐπὶ βοτρύων, ὁ ὥριμος πρὸς παραγωγὴν οἴνου : Κριναγ.6,232,1 **βότρυες οἰνοπέπαντοι εὐσχίστοιό τε ῥοιῆς θρέμματα.**

οἰνοπέπηκτον Ἡσ. «οἰνόδεσμον».

οἰνόπη (ἡ) μτγν. ὄνομα σταφυλῆς· Πολυδ.6,82· ‖ Ἡσ. «οἰνόπη· ἀμπέλου μελαίνης εἶδος».

οἰνοπίπης (ὁ) (ὀπιπτεύω) κωμ. λ. σχηματισθεῖσα κτ. τὰ γυναικοπίπης, παρθενοπίπης, ὁ στρέφων τὰ βλέμματά του πρὸς τὸν οἶνον, ὁ ἐπιθυμῶν τὸν οἶνον· Σουΐδ. «οἰνοπίπας· τὰς τοὺς οἴνους περισκοπούσας» : Ἀριστφ.Ἀχ.393 **τὰς οἰνοπίπας, τὰς προδότιδας, τὰς λάλους** (κῶδ. οἰνοπότιδας).

οἰνοπλάνητος-ον (πλανῶ) ὁ διὰ τοῦ οἴνου πεπλανημένος, παραζαλισμένος : Εὐρ.Ῥῆσ.363 **κυλίκων οἰνοπλανήτοις ἁμίλλαις.**

οἰνοπληθής-οῦς-ές (πλῆθω) κ. μσν. ἐπὶ τόπων, ὁ ἔχων ἄφθονον οἶνον, ὁ πλούσιος εἰς οἶνον : Ὀδ.Ο 406 **νῆσός τις Συρίη κικλήσκεται . . οἰνοπληθὴς πολύπυρος,** Εὐγεν.Ἰω.ἐγκώμιον Τραπεζοῦντος 371,65 **οἰνοπληθὴς γῆ.**

οἰνόπληκτος-ον (πλήσσω) μτγν. ἃ. οἰνόπληξ βλ.λ.· Ἡσ. «οἰνόπληκτον· οἰνωμένον» : Βασ.2,126D.

οἰνοπλήξ-ῆγος (ὁ,ἡ) (πλήσσω) κ. μσν. ὁ ὑπὸ οἴνου πεπληγμένος, κτυπημένος, ὁ μεθυσμένος, ὁ κρασωμένος : Τραγ.Ἀδέσπ.238, Ἀντίπ.Σιδ.ΑΠ 9, 323,5 **ἐν οἰνοπλῆξι τεράμνοις,** Ἡσ. ἐν λ. μεθυστόδες, Πλαν.Βί.Αἰσώπου 56,7.

οἰνόπνε(υ)μα-ατος (τὸ) νεώτ. κ. δημ. τὸ πνεῦμα τοῦ οἴνου, τὸ λαμβανόμενον προϊὸν δι' ἀποστάξεως τοῦ οἴνου ἢ ἃ. ἀλκοολούχων ὑγρῶν, ἃ. αἰθυλικὴ ἀλκοόλη, αἰθυλικὸν πνεῦμα, δημ. σπίρτο.

οἰνοπνευματίασις-εως (ἡ) νεώτ. κ. **οἰνοπνευμάτωσις** δηλητηρίασις χρονία ἐκ καταχρήσεως οἰνοπνευματωδῶν ποτῶν, ἀλκοολισμός.

οἰνοπνευματικός-ή-όν νεώτ. ὁ ἀνήκων ἢ ἀναφερόμενος εἰς τὸ οἰνόπνευμα βλ.λ. : **οἰνοπνευ-**

ματικὸς βαθμὸς (ἡ ποσότης αἰθυλικῆς ἀλκοόλης ἐν θερμοκρασίᾳ 15° K ἡ ἐνεχομένη εἰς 100 ὄγκους οἰνοπνευματικοῦ ὑγροῦ).

οἰνοπνευματοζύγιον (τὸ) νεώτ. παλαιοτέρα ὀνομασία τοῦ οἰνοπνευματομέτρου βλ.λ.

οἰνοπνευματομέτρησις-εως (ἡ) νεώτ. κ. οἰνο-πνευματομετρία προσδιορισμὸς τῆς εἰς μεθυλικὴν ἀλκοόλην, τῆς εἰς οἰνόπνευμα περιεκτικότητος τῶν ἀλκοολούχων ὑγρῶν.

οἰνοπνευματομετρητής (ὁ) νεώτ. συσκευὴ αὐτομάτου μετρήσεως τοῦ ὑπὸ μηχανῆς ἀποστακτικῆς παραγομένου οἰνοπνεύματος.

οἰνοπνευματομετρία (ἡ) νεώτ. **δ. τ.** τοῦ οἰνο-πνευματομέτρησις βλ.λ.

οἰνοπνευματόμετρον (τὸ) νεώτ. ὄργανον δι' οὗ προσδιορίζεται ὁ οἰνοπνευματικὸς βαθμὸς τῶν μεθυλικὴν ἀλκοόλην περιεχόντων ὑγρῶν.

οἰνοπνευματοποιεῖον (τὸ) νεώτ. ἐργοστάσιον, κατάστημα, ἐν ᾧ λειτουργοῦσι συσκευαὶ εἰδικαὶ πρὸς ἀπόσταξιν οἰνοπνεύματος ἢ κ. μ. πρὸς κατασκευὴν οἰνοπνευματωδῶν ποτῶν.

οἰνοπνευματοποιήσιμος-ον νεώτ. ἐπὶ διαφ. ὑλῶν, ὁ δυνάμενος νὰ μετουσιωθῇ εἰς οἰνόπνευμα ἢ ὁ ἐξ οὗ δύναται νὰ ἐξαχθῇ οἰνόπνευμα.

οἰνοπνευματοποιΐα (ἡ) νεώτ. βιομηχανία παραγωγῆς οἰνοπνεύματος καὶ οἰνοπνευματούχων ποτῶν· ‖ ἡ τέχνη ἢ τὸ ἐπάγγελμα τοῦ κατασκευάζοντος οἰνοπνεύματα, τοῦ οἰνοπνευματοποιοῦ βλ.λ.

οἰνοπνευματοποιός (ὁ) νεώτ. βιομήχανος παράγων δι' ἀποστάξεως οἰνόπνευμα, ἢ παρασκευάζων οἰνοπνευματώδη ποτά.

οἰνοπνευματοπωλεῖον (τὸ) νεώτ. κατάστημα πωλήσεως οἰνοπνευματούχων ποτῶν.

οἰνοπνευματοπώλης (ὁ) νεώτ. ὁ πωλῶν οἰνόπνευμα καὶ οἰνοπνευματώδη ποτά.

οἰνοπνευματοῦχος-ον νεώτ. ἐπὶ διαφ. οὐσιῶν, **ὁ** περιέχων οἰνόπνευμα, μεθυλικὴν ἀλκοόλην, ὁ ἀλκοολοῦχος : **οἰνοπνευματοῦχα ποτὰ** (ὁ οἶνος, ὁ ζῦθος, ὁ καμπανίτης, ὁ μηλίτης, τὸ κονιάκ, τὸ ρούμιον, ἡ ρακὴ καὶ τὰ διάφ. ἡδύποτα).

οἰνοπνευματώδης-ους-ες νεώτ. ὁ περιέχων οἰνόπνευμα, ὁ οἰνοπνευματοῦχος.

οἰνοποιεῖον (τὸ) νεώτ. τόπος ἐν ᾧ παρασκευάζεται οἶνος· ‖ ἐργοστάσιον ἔνθα ἐκτελοῦνται **ἅπασαι αἱ** πρὸς οἰνοποίησιν ἐργασίαι, ἤτοι ἔκθλιψις τῶν σταφυλῶν, ζύμωσις τοῦ γλεύκους, πίεσις τῶν στεμφύλων κτλ.

οἰνοποίησις-εως (ἡ) νεώτ. ἡ εἰς οἶνον μετατροπὴ τοῦ γλεύκους, τοῦ μούστου, κατόπιν τῆς ἀπαιτουμένης ζυμώσεως.

οἰνοποιΐα (ἡ) μτγν. κ. νεώτ. ἡ παρασκευή, ἡ κατασκευὴ οἴνου : Θεόφρ.'Οσμ.67, Διόδ.Σ 3,63 **τὸν καταδείξαντα τὰ κατὰ τὰς οἰνοποιΐας,** 'Αθήν. 1,26Β· ‖ νεώτ. βιομηχανία παρασκευῆς οἴνων.

οἰνοποιός-όν μτγν. κ. νεώτ. ὁ παρασκευάζων οἶνον, ὁ κατασκευαστὴς οἴνων : 'Αθήν.1,27D **ἑρμηνεύεται δὲ ἑλλάδι φωνῇ οἰνοποιός**· ‖ μτγν. ὁ παράγων οἶνον : Γαλ.4,777· ‖ 'Επιγρ. κ. νεώτ. τὸ ἀρσ. **οἰνοποιός** ὡς οὐσ. ὁ κατασκευαστὴς οἴνων, **ὁ** βιομήχανος, ὁ ἔχων ἔργον τὴν οἰνοποιΐαν : 'Επιγρ., **- οἱ οἰνοποιοὶ ζητοῦν φορολογικὰς διευκολύνσεις.**

οἰνοποιῶ-έω μτγν., παρακ. **οἰνοποίηκα** (πάπ.) παρασκευάζω, παράγω οἶνον : Πλούτ.'Ηθ.653Α, Πάπ.

οἰνοπόρος-ον (οἶνος, πορίζω) μτγν. ὁ παρέχων, ὁ δίδων οἶνον : Νόνν.Δ 40,238 **ξανθὸν ὕδωρ πίνοντες ἀπ' οἰνοπόρου ποταμοῖο.**

οἰνοπορῶ-έω 'Ησ. «πορίζω, πορέχω οἶνον».

οἰνοποσία (ἡ) κ. νεώτ. πόσις οἴνου : 'Ιππ.Διαίτ. 37, 'Αριστλ.Πρ.871a,1, Αἰλ.ΠΙ 2,41 **οἰνοποσίας ἀγωνία,** 'Επιγρ.· ‖ νεώτ. ἡ ὑπέρμετρος πόσις οἴνου : **εὑρέθη εἰς τὸν δρόμον ἀναίσθητος ἐξ οἰνοποσίας.**

οἰνοποσίαρχος (ὁ) 'Επιγρ. **ὁ** συμποσίαρχος βλ.λ. : 'Επιγρ. Βιθυνίας.

οἰνοπόσι(ο)ν (τὸ) 'Επιγρ. οἰνοποσία βλ.λ.

οἰνοποτάζω ποι. «παλαιότερος τ. τοῦ οἰνοποτῶ βλ.λ., πίνω οἶνον, κρασί, πίνω : 'Ιλ.Υ 84 **ποῦ τοι ἀπειλαί, ἃς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,** 'Οδ.Ζ 309, αὐτ.Υ 262, 'Ανακρ.90(69),1 **κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,** Φωκυλ.11.

οἰνοποτήρ-ῆρος (ὁ) ποι. ὁ πίνων οἶνον, ὁ οἰνοπότης : 'Οδ.Θ 456 **ἐκ ῥ' ἀσαμίνθου βὰς ἄνδρας μέτα οἰνοποτῆρας ἤϊε,** Λεωνίδ.Ταρ.ΑΠ 5,205,5 **τὸν ἕσπερον οἰνοποτήρων σύγκωμον** (δόνακα).

οἰνοπότης (ὁ) κ. νεώτ., θηλ. **οἰνοπότις-ιδος** ('Ανακρ.162, 'Αριστφ.Θεσμ.393) ὁ πίνων οἶνον, ὁ φιλῶν τὴν οἰνοποσίαν, μέθυσος, μπεκρής, κρασοπατέρας : 'Ανακρ.97, αὐτ.162, 'Αριστφ.Θεσμ.393 **τὰς μοιχοτρόπους, τὰς ἀνδρεραστίας καλῶν, τὰς οἰνοπότιδας** (δ.γρ. τὰς οἰνοπίπας), Καλλ.'Επιγρ.37, Πολύβ.20,8,2, ΠΔ Παροιμ.23,20 **ἄκουε, υἱέ, καὶ σοφὸς γίνου . . μὴ ἴσθι οἰνοπότης,** ΚΔ Ματθ.11,19 **ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης.**

οἰνοποτῶ-έω μτγν. κ. νεώτ. μεταγενέστερος τ. τοῦ οἰνοποτάζω βλ.λ., πίνω οἶνον : ΠΔ Παροιμ.24, 72(31,4) **μετὰ βουλῆς οἰνοπότει,** 'Αθήν.11,460C, 'Ερωτιαν. ἐν λ. θωρῆξαι, 'Ορειβ.5,3),12· ‖ μτγν. κ. μτ. αἰτ. : Καλλ.Αἴτ.1,1,12· ‖ νεώτ. πίνω καθ' ὑπερβολὴν οἶνον, εἶμαι μέθυσος, μπεκρής.

οἰνοπράτης (ὁ) 'Επιγρ. κ. μσν. οἰνοπώλης βλ.λ. : 'Επιγρ., Πάπ., Τζέτζ.'Ησίοδ.136.

οἰνόπτης (ὁ) (οἶνος, ὁρῶ, ὄψομαι) κ. μσν. κ. νεώτ. ὁ τοῦ οἴνου θεωρός, **ὁ** ἐπιστατῶν, ὁ ἐποπτεύων **ἐν** τοῖς συμποσίοις, ὥστε νὰ μειχθῶσιν ἴσα μέτρα ὕδατος καὶ οἴνου καὶ ἵνα ἐξ ἴσου πίωσιν οἱ συμπόται· πρβλ. 'Αθήν.10,455Α «οἱ δὲ οἰνόπται ἀρχή τις εὐτελὴς ἦν ἐν 'Αθήναις, οἳ ἐφεώρων τὰ ἐν τοῖς δείπνοις εἰ κατ' ἴσον πίνουσιν οἱ συνόντες» : Πολυδ.6,21, 'Επιγρ.· **2)** ἐπιτροπὴ ἐκ τριῶν ἀξιωματούχων ἐν '[illegible]ναις ἥτις ἦτο ἐντεταλμένη τὴν προμήθειαν λυχνιῶν, θρυαλλίδων κτλ. ἔν τισι πανηγύρεσιν : Εὐπ.205· **3)** μσν. ὁ γευόμενος οἴνου, **ὁ** δοκιμάζων τὸν οἶνον ἵνα καθορίσῃ τὴν ποιότητα αὐτοῦ : Γεωπ.7,7,1 **οἱ ἔμπειροι οἰνόπται.**

οἰνοπωλεῖον (τὸ) νεώτ. καπηλεῖον βλ.λ., δημ. ταβέρνα, κρασοπουλειό.

οἰνοπώλης (ὁ) μτγν. κ. νεώτ., θηλ. **οἰνοπῶλις** ἡ -οπώλις-ιδος (Σχόλ.'Αριστφ.Πλ.435, Λιβάν.Προγ. 26,18), ὁ πωλῶν οἴνους, ὁ κρασοπώλης, ὁ κάπελας, ὁ ταβερνιάρης : Δίφιλ.3,6 **εἷς λοιπὸς ἢ κάπηλος ἠδικημένος ὑπ'** οἰνοπώλου, Σχόλ.'Αριστφ. Πλ.435, Λιβάν.Προγ.26,18, Πάπ.

οἰνοπωλῶ-έω πωλῶ οἶνον, εἶμαι οἰνοπώλης : 'Αριστλ.Θαυμ.832b,22 **ἐν Τάραντι δὲ φασὶν τὴν μὲν νύκτα μαίνεσθαι, τὴν ἡμέραν δὲ οἰνοπωλεῖν.**

